Β5

1318

B 5

44 a. bb. in fine

Β5

ΑΚΑΔΗΜΙΑ ... ΒΙΒΛΙΟΘΗΚΗ
2717

# ΤΟΥ͂ ΣΟΦΩΤΆΤΟΥ ΦΙΛΗ͂, ΣΤΊΧΟΙ ἸΑΜΒΙΚΟῚ ΠΕΡῚ ΖΏΩΝ ἸΔΙΌΤΗΤΟΣ.

... ΤΟΥ ΔΕ ΚΤΗ...
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗ...
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

## ΤΩ͂ ΕΥ̓ΣΕΒΕΣΤΑ΄ΤΩ, ΚΑῚ ΘΕΟΣΤΕ΄πτῳ βασιλεῖ Καρόλῳ, Ἀρσένιος ὁ Μονεμβασίας ἀρχιεπίσκοπος, αἴρειν ἀεὶ τρόπαια κατὰ βαρβάρων.

Ὀππιανὸς μὲν πάλαι γαληνότατε βασιλεῦ, ἁλιευτικὰ, καὶ κυνηγετικὰ συγγραψάμενος, τῷ βασιλεῖ Ἀντωνίνῳ ἀφωσιώσατο. οἷς ἐκεῖνος ὑπερησθεὶς, τὸν μὲν ἐκείνων πατέρα, μεγαλοπρεπῶς τε ἅμα καὶ ἐλευθερίως ἐδεξιώσατο. τὸν δὲ πάππον ὑπερόριστον ὄντα, τῷ υἱῷ φίλα φέρων, τῇ πατρίδι κατήγαγε. Φιλῆς δέ τις τῶν μεταγενεστέρων, οὔτε ἄλλοις, κἀν τῷ ἰαμβοπλοκεῖν θαυμαζόμενος, ἐν δυσὶ χιλιάσιν ἰάμβων ἐγγὺς, περὶ ζώων ἰδιότητος βιβλίον συνέθετο. ὃ δὴ Μιχαήλῳ τῷ αὐτοκράτορι προσεφώνησε. φιλοτιμηθεὶς καὶ αὐτὸς παρὰ τοῦ βασιλέως τὰ μάλιστα. ἀλλὰ τὰ μὲν τοῦ Ὀππιανοῦ καὶ πρὶν τυπωθῆναι, εὑρίσκετο δήπου παρὰ πολλοῖς. τὸ τοῦ Φιλῆ δὲ τοῦτο καὶ μόνον ὡς λέγουσι τὸ πρωτότυπον, παρ' ἐμοί. παλαιώμενον καταπεπατημένον. καὶ εἰς πολλὰς διερρηγμένον τομάς. εἱρμὸν ἀνάρμοστον ἔχον, τῶν φύλλων μετατιθεμένων. καὶ ἐναλλάγδην διερραμμένων. καὶ ὡς ἄλλος πελίας πρὸς ἀνακαινισμὸν, ἑτέρας μηδείας δεόμενον. ἀλλ' ὅμως ἐγὼ τὸ βιβλίον ἀνατεμὼν, καὶ τὰ φύλλα κατὰ τάξιν συνθείς τε καὶ ἁρμολογησάμενος, εἰς τὴν προτέραν ἀποκατάστασιν ἐπι

μελείας ξέσει συναγαγὼν, ἔγνων ἐν τυπῶσαι. καὶ
ἀφιερῶσαι τῇ βασιλείᾳ σου. οὗ δὴ συναιρομένου
θεοῦ, καὶ πεποίηκα. δῶρον ἐπωφελές τε καὶ χάριεν
νομίσας προσκομίσαι τῷ κράτει σου. ἐνταῦθα γὰρ
ἂν ἴδοις τὰ ζῷα θειότατε βασιλεῦ, ὅπως τῷ κοι-
νῷ νόμῳ τῆς φύσεως χρώμενα, ἄνευ προσταγμάτων
καὶ διαγραμμάτων βασιλικῶν, τῆς ἑαυτῶν σωτηρίας
ἐπιμελοῦνται. καὶ προαιροῦνται μὲν, τὴν ἀφωρι-
σμένην αὐτοῖς παρὰ τῆς φύσεως δίαιταν. ἐκ-
φεύγουσι δὲ τὰ φευκτά. καὶ προσκολῶνται τοῖς
κρείττοσι. τῶν λογικῶν μᾶλλον, οἳ λόγῳ. καὶ νόμῳ.
καὶ παιδείᾳ κοσμούμεθα. θεάσῃ δ' ἂν τὴν εἰς τοὺς
γονεῖς φιλοστοργίαν τῶν πελαργῶν. ὅπως τε ἐπιδη-
μοῦσι καὶ ἀποδημοῦσιν, ὡς ἐξ ἑνὸς συνθήματος. καὶ
αὖθις τὰς κορώνας, ὅπως αὐτοῖς τὸ συμπαθὲς
ἐνδεικνύμεναι. καὶ ὥσπερ τινὰ συμμαχίαν αὐτοῖς
παρεχόμεναι, πρὸς ἀλλοτρίους ὄρνιθας παρα-
πέμπουσι. θαυμάσῃς ἔτι τὸ προφυλακτικὸν τῶν γε-
ράνων. ὅπερ ἔν τε τῷ καθεύδειν, καὶ ἐν τῇ πτήσει φυ-
λάττουσιν. ἡ μὲν γὰρ ἡγεῖται πρὸς ὥραν. εἶτα πά-
λιν κατόπιν ἐλθοῦσα, τὴν ὁδηγίαν τῇ μεθ' ἑαυ-
τὴν παραδίδωσι. γνώσῃ τὴν κατὰ τοὺς σῆρας με-
ταβολὴν, καὶ τούτων προσέτι μυηθεὶς τῆς ἀνα-
στάσεως τὴν ἀσφάλειαν, καταφρονήσεις τῶν ἀθε-
τούντων αὐτῆς τὸ ἀπόρρητον δόγμα. ἀποβλέ-
ψεις πάλιν τοὺς γῦπας πῶς ἀσυνδυάστως τίκτουσι.

καὶ κατακλύσεις τῶν καταγελώντων τὸ τῆς οὐ-
σάρκου οἰκονομίας μέγα μυστήριον. ἀδύνατον καὶ
ἔξω τῆς φύσεως εἶναι ληρούντων παρθένον τε-
κεῖν. τῆς παρθενίας αὐτῇ φυλαττομένης ἀχράν-
του. ἣν χριστιανοῖς ὑμνητέον εἶναι, ἐπαινετέον τε. καὶ
δοξαστέον, μηδὲ τὸν ἐξ αὐτῆς σαρκωθέντα θεὸν ἡ-
μῶν νενόμισται. ἀγαθείης δὲ πάλιν τῆς τῶν ἰχθύων
καὶ τῶν λοιπῶν ζώων τὴν σοφίαν. καὶ εὔτακτον δια-
κόσμησιν. πῶς τὰς μεταβολὰς τῶν καιρῶν, τῇ φυ-
σικῇ αἰσθήσει προκατανοοῦσι. καὶ προγινώσκουσιν.
ὅπως τε τοῖς τοῦ ἱπποκράτους εἰπόντες χαίρειν ἀφο-
ρισμοῖς, ἄλλο ἄλλῳ χρώμενα τῶν φαρμάκων ἑαυ-
τὰ ἐξιῶνται. καὶ ἄρκτος μὲν τῷ φλώμῳ τὰς ὠτει-
λὰς παραβύεται. χελώνη δὲ δι' ὀριγάνου τῆς τοῦ ἰο-
βόλου λύμην ἐκκρούεται. ἀλώπηξ τῷ δακρύῳ τῆς
πίτυος ἑαυτὴν ἰατρεύει. ὄφις ἐμφορηθεὶς μαρά-
θῳ, τὴν ὀφθαλμίαν ἀποβάλλεται. τούτων καὶ τῶν
λοιπῶν ζώων, πτηνῶν. πεζῶν. ἑρπυστικῶν τε καὶ
νηκτῶν, τῇδε θεάσῃ τὴν ἔμφυτον φύσιν καὶ ἰδιό-
τητα. ἥδιστον οὖν ὡς ἔφην καὶ ἐπωφελὲς διὰ ταῦ-
τα νενόμικα τὸ βιβλίον γενέσθαι τῇ βασιλείᾳ σου.
πέπεισμαι δὲ τήνδε τὴν δευτέραν ἔκδοσιν τούτου,
τῆς προτέρας τὴν εὐδαιμονίαν γε ὑπερακοντίσα-
σθαι. ἐπείπερ ἀνατίθεται βασιλεῖ, ἅπασι τού-
τοις τὴν βασιλείαν κοσμοῦντι, οἷς ἐκείνη σεμνύνε-
ται, τῶν προτέρων βασιλέων ἐπέκεινα. Ἔρρωσο.

RELIGIOSISSIMO ET AVGVSTISS. Regi Carolo Arsenius Monembasiæ Archiepiscopus Trophęorum semper cõtra Barbaros erectionem.

O PPIANVS quõdam Auguste Rex, Piscatoria Venatoriaq; quũ scripsisset, Antonino Regi dicauit. quibus ille mirum in modum delectatus, eorum quidem parentem magnifice simul ac liberaliter accepit: Auũ vero exulẽ, filio gratificatus, Patriæ reddidit. At Philes posterius genitorũ quidã, cum in aliis, tum in iambis texẽdis admirationi habitus, ad duo fere iamborum milia, de Animaliũ proprietate librũ condidit. Quod Michaeli vtiq; Imperatori nuncupauit, Honoratus & ipse a Rege in primis. Verum Oppiani quidẽ scripta, & priusq̃ imprimerentur, penes multos inueniri erat. Philę vero id, vnicumq;, vt perhibẽt, exemplar penes me. Verũtamen conculcatũ, atq; in multa fragmẽta discissum, incoibili serie, foliis ab inuicem dissutis: & vt ita dixerim, velut alius Pelias ad instaurationem alia Medea indigens. Codicẽ igit recidens, ac folia seriatim cõponens, perq; artus coagmentans, in priorem statũ studii ardore quum coegissem, imprimendum statui, tuęq; dedicãdũ Maiestati. Quod cũ deo & fe-

ci. Gratū munus atq; vtile ratus adferre potētię tuæ. Hic enim videas Diuine Rex, quomodo animalia cōmuni naturæ lege vtētia, sine iussis & pręscriptis Regiis, propriam salutem curent. & appetant quidem præfixam ipsis à natura, viuēdi rationē, ac fugienda deuitent: adhęreātq; iis quę meliora sunt, rationalibus magis, q̃ sermone, legeq;, ac disciplina ornamur. Cōtempleris Ciconiarū in parentes charitatē, quomodoq; accedant, recedantq; veluti ex cōpacto. Rursum cornices, quomodo erga illas affectum ostendētes, velutq; subsidiū quoddā ipsis præbētes, aduersus externas aues exeant. Miraberis Gruum præcautionē, quā cum inter dormiendū, tum inter uolandū seruant. Alia quidē ad horam præit, tum retrofacta, ducatū sequēti se tradit. Agnoscas in seribus vermiculis transmutationē: & ex iis amplius eruditus resurrectionis certitudinem, despicies reprobantium ipsam nefarium dogma. Respicies Vultures, quomodo citra copulam pariant, & despues qui derident magnū in carne dispensationis Mysterium, impossibile ac præter naturam esse nugantes, Virginem parere, virginitate ei impolluta seruata. quam Christianis celebrandū esse laudandūq;, & glorificandū, post ex ipsa incarnatū Deum nostrum, sancitū est. Admireris præterea Piscium, aliquorumq; animalium sapientem compositāq; dispositionē.

quomodo temporũ instabilitates naturali sen su pręintelligãt pręcognoscãtq;. Quomodoq; iussis valere Hippocratis Aphorismis: alia aliis Pharmacorũ vsa, se ipsa curent. Et Vrsus quidem Phlomo vulnera obturat. Testudo Origano venenati labẽ repellit. Vulpes, Pinus lachryma se ipsam me dicatur. Serpens Fœniculo pastus, oculorũ morbũ excutit. Horum, reliquorũq; Animaliũ, Volucrium Pedestriũq;, Reptiliumq; & Natatilium hic genuinã speculeris naturam, proprietatesq;. Igitur iucundissimũ, vt dixi, atq; vtilem ob hæc huiusmodiq; arbitratus sum librum fore imperio tuo. Persuasus autem sum, secũdam huius emissionẽ prioris felicitatẽ superaturã, quia regi dicatur, omnibus his regnum exornanti, quibus supra priores Reges honestatur. Vale.

καὶ ζῶσι λοιπὸν, εἰς ἐρήμους γῆς τόπους.
ἐγὼ δέ σοι θύρετρον εὐνοίας πλέκων,
ἰὼ ἔγηκα τοὺς φυγάδας ἐξ ἐρημίας.
σοῦ γὰρ ἀνατέλλοντος ἡλίου δίκην,
ὡς εἶπε Δαυὶδ ζωγραφήσας τὴν κτίσιν,
εἰς μάνδραν ἐχρῆν συνδραμεῖν τούτους λόγων.
καὶ λῖνα ῥυθμοῦ τεχνικῶς ὑφαρμόσας,
πολλῶν πετεινῶν οὐ παρέδραμον φύσεις.
καὶ πάντα βυθὸν ἐξερευνήσας λόγων,
συνέσχον ἰχθῦς τῇ πλοκῇ τῆς λέξεως.
ὃς ἂν ἔχοις καὶ ταῦτα, κἀκεῖνα βλέποις.
καὶ τἄλλα μαθὼν εὐτυχὴς αὐτοκράτωρ.
ποῖος γὰρ ἄλλος προσφυὴς μᾶλλον φόρος
ἄνακτι. πατρὸς αὐσονάρχου φιλτάτως.
οὗ τὴν ὑπερφυῆ τε καὶ ξένην φύσιν,
καὶ τὸν γλυκασμόν. καὶ τὸ πρὸς πάντα κράτος,
καὶ τὸν πλατυσμὸν τῆς ψυχῆς. καὶ τὸν τρόπον,
ὀκνοῦσιν ὑμνεῖν οἱ κατ' ἄνθρωπον λόγοι.
νικᾷ γὰρ αὐτοὺς, κἂν παρῶν, φράζοι πλάτων,
ὡς αἰγυπιὸς τοῖς πτεροῖς τὰς ἐμπίδας.
μᾶλλον δὲ κἂν οὐ εὑρεθῇ πάντα στόμα.
καὶ πρὸς λόγων ἅπασαν ἀρκέσῃ χάριν,
προσῆκον οὐδὲν, τῷ τεκόντι σε φράσει.
τῇ γὰρ σιωπῇ, τοῦτον ὑμνήσει πλέον.

ἂν μὴ θρασυνθῶσιν εἰς κενοὺς ἀδεικτύπους.
πλὴν εἴ τι καινὸν ἡ διήγησις φέρει,
τῆς φύσεως καὶ ταῦτα τῆς πολυτρόπου.
ἧς οἶδε σαφῶς τοὺς ἀποκρύφους λόγους.
ὁ καὶ προμηθῶς, καὶ σοφῶς πάντα κτίσας.
ὅσον γεμίζων ἔνεστι τοῖς λόγοις τέρας,
τῆς τῶν παλαιῶν ταῦτα φιλοτιμίας.
ἐξ ὧνπερ εὑρὼν τὰς ἀφορμὰς τῶν λόγων,
τὸν εἱρμὸν ὠργάνωσα τῆς εὐρυθμίας.
Ἕλλησι μὲν γὰρ τοῖς σοφοῖς καὶ βαρβάροις,
ὡς δημιουργοῖς καὶ βραβεῦσι τῶν μύθων,
οὐ φορτικὸν τὸ ψεῦδος. ἀλλ' ἀνεύθυνον.
ἡμῖν δὲ δεινὸν τοῖς τιμῶσι τὸν λόγον,
ὅς ἐστι φῶς. ἄνωθεν ὠθοῦν τὸ σκότος.

Περὶ ἀετῶν.

Τοὺς ἀετοὺς κράτιστε τοὺς ὑψιδρόμους,
ποτοῦ θεωρῶν ἀκριβῶς ὑπερτέρους,
τέθηπα τὸν κτίσαντα τὴν τούτων φύσιν.
ἐχρῆν γὰρ αὐτοὺς ὡς κρατίστους ὀρνίθων,
παθῶν ἐπαχθῶν εὑρεθῆναι κρείττονας.
πλὴν ὀξυδερκής ἐστιν ὁ πτηνοκράτωρ,
καὶ μέχρι σητὸς, ἐκ νεφῶν πάντα βλέπει.
τούτου δὲ καὶ τὸν ῥοῖζον ἀκούσας δράκων,
ἔπτηξε παραχρῆμα καὶ συνεστάλη.

καὶ τοὺς μυχοὺς ὑπῆλθε τοὺς ἀποκρύφους,
μὴ θᾶττον αὐτὴν συλλαβὼν διασπάσῃ.
θηρᾷ δὲ καὶ τὴν χῆνα, καὶ τὴν δορκάδα.
καὶ τὸν λαγωόν. καὶ τὸ τῶν ταύρων γένος.
ὃς τοὺς νεοττοὺς ὄντας ἀπτῆνας τέως,
ἐπὶ ξένην βάσανον ὡς νόθους ἄγων,
ποιεῖ δικαστὴν πρακτικὸν τὸν φωσφόρον.
ὁ μὲν γὰρ αὐτοῦ ταῖς βολαῖς ἀντιβλέπων,
τῶν φιλτάτων τίς ἐστι καὶ τῶν ἐκκρίτων.
ὀφθεὶς καθαρὸς δυσμενοῦς ὑποψίας.
ὁ δὲ πρὸς αὐτὸν σκαρδαμύξας εὐθέως
ἀλλοτρίου σπέρματος, εὑρέθη τόκος.
καὶ τῆς καλιᾶς δυστυχῶς ἀπεκρίθη.
εἶναι δέ που λέγει τις ἀετοῦ γένος.
κρεῶν ἀφεστῶς, καὶ σιτούμενον χλόης.
θήρας γε μὴν ἐκεῖνος ὁ κρεωβόρος,
οὐκ ἂν ὅλως ἅψαιτο τῆς ἀλλοτρίας.
οὐ ἄσθματι δὲ φυσικῆς δυσοδμίας,
τὰ τῆς τροφῆς λείψανα τηρῶν ὡς λέων.
πατὴρ πετεινοῦ δυσμενοῦς εἴργει θράσος.
ὡς ἂν ἐπ' αὐτὰ δυστυχῶν ὑποστρέφοι.
πτερὸν δὲ πᾶν ἔφθειρεν ἡ τούτου πτέρυξ,
ἂν ὁ πτερωτὴς τῶν βελῶν τοῦ τοξότου,
λαβοῦσαν αὐτὴν εἰς φαρέτραν ἐμβάλῃ.

τούτου βασιλεῦ τὸν πολὺν ζώοις βίον.
ἀεὶ νεουργῶν. καὶ κρατύνων τὴν φύσιν.

Περὶ γυπῶν.

Γ ὺψ ὁ πτερωτός. καὶ πολύς. καὶ τετράπους.
ὄνυχας ὀξεῖς τῶν ποδῶν ὑπεκφύει.
καὶ πορφυροῦς μὲν ἐστι τοῖς ἐμπροσθίοις.
τὰ δ' ἄλλα λευκὸς, τὴν κεμὴν δέρριν μέγας.
καὶ πῦρ χέων ἄντικρυς ἐκ τῶν ὀμμάτων.
οὗ τὴν κεφαλὴν βασιλεῦ καὶ τὸ στόμα,
κἂν μακρόθεν βλέπῃ τις, ἀετὸς λέγει.
πλὴν μαντικὴν ἔχουσιν οἱ γύπες φύσιν.
καὶ γὰρ συνεκδημοῦσι τοῖς μαχουμένοις.
τῶν σωμάτων ἐλπίδι τῶν πεσουμένων.
μεμήνασι δὲ τῇ βορᾷ τῶν λειψάνων.
ὡς ὀξυπεῖναι, καὶ σπαράκται. καὶ βλάκες.
οἳ τῷ μύρῳ θνήσκουσι κανθάρων δίκην.
θῆλυς δὲ πᾶς γὺψ καὶ φθορᾶς ἄνευ κύει.
χαίνων γὰρ ἀντίπρωρος ὕψου πρὸς νότον,
συλλαμβάνει τὸ πνεῦμα, καὶ τρίτου χρόνου,
στρουθοὺς πτερωτοὺς ἀπὸ μήτρας ἐξάγει.
οἳ ζῶσιν εὐθὺς ἐξ ὀνύχων ἁρπάγων.
πνίγους καλιῶν εὑρεθέντες κρείττονες.
τοὐναντίον δέφασι τοὺς αἰγυπτίους.
τίκτοντας ᾠὰ τῇ σπορᾷ τῶν ἀῤῥένων.

εἰς τὰς καλιὰς τοὺς νεοττοὺς ἐκγλύφειν.
ῥώμης ἀγαθῆς, καὶ πτερῶν ἀλλοτρίους.
εἶναι δὲ καὶ μέλανας ὡς αἰγυπτίους.

### Περὶ τῆς μεγάλης στρουθοῦ.

Στρουθὸν δέ φασι τὴν μεγάλην οἱ φρύγες
οὖσαν πτερωτὴν, τοῖς ποσὶ χρῆσθαι πλέον.
ὤκιστα γὰρ θέουσαν, εἰς ἄρσιν μέσην,
κολποῦν ἑαυτῆς τὰ πτερὰ πρὸς τὸν δρόμον.
ὡς λαῖφος οἰδοῦν ἐκ πνοῆς πλησίου.
ὠῶν δὲ συχνῶν εὑρεθεῖσαν ἐργάτιν,
τὰ μὴ καθαρὰ τῆς γονῆς ἀποκρίνειν.
ὅσους γὰρ ἐξέλεψεν ἡ ξέσις τόκους.
ἐν τοῖς ἀπορρεύσασι κυλίνδροις τρέφειν.
καὶ τῶν διωκτῶν γειτνιώντων ἀθρόον,
ῥιπτεῖν κατ' αὐτῶν τοὺς ὀπισθίους λίθους.
τοῖς ἐκτιναγμοῖς τῶν ποδῶν τοῖς εὐστόχοις.
καὶ τὴν καλιὰν τοῖς ποσὶ διαγλύφειν.
εἰς ἀνέχουσαν ψάμμον ἐν τῷ δαπέδῳ.
ἧς καὶ τὰ νεῦρα βασιλεῦ καὶ τὸ στέαρ,
πολλῶν ὀδυνῶν εὑρεθῶσι φάρμακα.
ταύτην ἀνατεμών τις εὑρήσει λίθους.
οἳ τοὺς πόνους θραύουσι τῆς ὀφθαλμίας.

## Περὶ Ἐρωδιῶν.

Ἐρωδιοὺς νῆσος τὶς ἐλλιμνὶς τρέφει.
οἳ τὴν ἑαυτῶν εὐγενίζοντες φύσιν.
ὅσους μὲν ἂν ἴδωσι δεῦρο βαρβάρους,
μισοῦσι, καὶ φεύγουσιν ὡς πλανῶν γένος.
ὅταν δὲ κατάρῃ τὶς ἐκ τῆς Ἀτθίδος,
εἰσὶ προσηνεῖς. καὶ φιλέλληνες πάλιν.
εὐθὺς γὰρ αὐτῷ προσδραμόντες ἀθρόοι.
τείνουσι τὰς πτέρυγας ὡς χεῖρας φίλοι.
κἂν οὗτος αὖθις ὡς ἐθὰς προσεγγίσῃ,
στέργουσιν ἁφὴν εὐμενοῦς ἀλλοτρίου.
οὕτω πτερωτοὺς τοῦ φιλεῖν διδασκάλους.
τοῖς ἀπτέροις δίδωσιν ἡ νῆσος ξένοις.

## Περὶ κόρακος.

Διψῶν δὲ τὸν κόρακα φασὶν ἐκτόπως,
θέρους ἐν ἀκμῇ δυστυχῶς πεφρυγμένον.
ὡς καὶ τραγῳδεῖν ἐξ ἀνάγκης τὸν πόνον.
καὶ μαντικὴν τὸ φθέγμα πολλάκις ἔχειν.
πλὴν ἐστὶ πιστὸν ὡς μελαίνει τὰς τρίχας.
κόρακος ὠὸν συντεθὲν τῇ μυρσίνῃ.
χρὴ γοῦν βασιλεῦ τὸν δολοῦντα τὴν κόμην,
μύσαντα τῷ στόματι συνέχειν στέαρ.
μὴ καὶ τὸ λευκὸν τῶν ὀδόντων αὐτίκα
τραπὲν μελανθῇ τῆς βαφῆς προηγμένης.

κόραξ δὲ κακῶς τοὺς κακοὺς τόκους τρέφων,
οὓς αὐτὸς ἐξέλειψε τοῦ γένους χάριν,
ὅταν ἐπιστῇ καὶ βραχὺς πείνης χρόνος,
βορὰν ἑαυτὸν ταῖς γοναῖς ἀντεισφέρει.

## Περὶ Πελαργῶν.

Α λλ' οἱ πελαργοὶ τοὺς ἑαυτῶν φιλτάτους.
οὐκ ἀφθόνοις τρέφουσι ταῖς χορηγίαις.
καθὼς ἐρωδιοί τε καὶ πελεκάνες.
οἱ φίλτατοι δὲ τοὺς γονεῖς μετὰ χρόνον,
ἀντιτρέφουσιν αὖθις ὡς εὐεργέτας.
τροφὴν δὲ τὴν χθὲς, ἀνεμοῦσι τήμερον.
πρόσφατον οὐκ ἔχοντες, ἂν τύχοι τρύφος.
καὶ δευτέραν τράπεζαν ἐξεργασμάτων,
ἡ φύσις αὐτοῖς ἐξ ἀνάγκης ἀρτύει.

## Περὶ Ταῶνος.

Γ τεροῖς ὁ ταὼς γαυριῶν πολυχρόοις,
λοξῶς ἀνακλᾷ. καὶ στρέφει τὸν αὐχένα.
καὶ τοὺς θεατὰς ἐκφοβῶν ἀκινδύνως,
κτυπεῖ μεταξὺ τοῖς πτεροῖς ὡς ὁπλίτης.
ὅτε κρεμαστὸν πωρυτὸν τρέφων τρέχει.
καὶ πάλιν αὐτοὺς ἐστιῶν ἐκ τῆς θέας,
τὴν κατόπιν πτέρωσιν ὑπανιστάνει.
ἣν σφαιροποιῶν, καὶ σοφῶς ἐπικλίνων,
ἀκμὴν θερινῆς φλεγμονῆς ἀποστέγει.

καὶ πνεῦμα λεπτὸν τοῖς πτεροῖς διαῤῥέον,
ἀναψύχει τὸν ὄρνιν ἐξοπισθίου.
ἀλλ' ὦ βασιλεῦ, μὴ παρέλθῃς τὴν θέαν.
λειμὼν γάρ ἐστιν ἡ γραφὴ τῶν ἀνθέων.
χρυσὸς δὲ λεπτὸς ἐγχυθεὶς τῇ πορφύρᾳ,
σμάραγδον ἁγνὸν ἐμφυτεύει τῇ κράσει.
καὶ σύνθετον φῶς, καὶ πτέρωσιν αἰθρίαν,
ἐκ τῶν φυσικῶν μεθοδῶσιν ἀκτίνων.
τοῖς δὲ πτεροῖς καί τινας ἀθρήσεις τύπους,
εἰς ὀμμάτων μίμησιν ἐκπεπλασμένων.
οἷς κλέπτεται τὸ χρῶμα τῆς ποικιλίας.
κοινοῦν ἑαυτὸ πρὸς λαβὰς ἰνδαλμάτων.
συστέλλεται δὲ καὶ καταστρωᾶ τὸν τῦφον,
ὁρῶν δυσειδεῖς ἐκ ῥυτίδων τοὺς πόδας,
πῶς ὁ θερμὸς καὶ θρασὺς ὄρνις τέως
αἰσθάνεται δὲ τῆς τιμῆς καὶ τῶν κρότων
οὓς ἄν τις αὐτῷ προσφυῶς διαπλέκοι.
ἔτους δὲ συντίθησι τὴν ὥραν τρίτου,
τῇ κατὰ μικρὸν τῶν πτερῶν καταστάσει.

Περὶ Κόγχης.

Κόγχην πελεκᾶν ἐμβαλὼν τοῖς ἐγκάτοις,
καὶ πάλιν αὐτὴν ἐξενεγκὼν ὀστράκοις,
τὸ σαρκίον βέβρωκε ληφθὲν εὐστόχως
τοῦ γὰρ τόνου θλάσασα τὰς κλεῖς ἡ ζέσις

ἔλυσεν ἃς ἔσφιγξον ἡ κόγχη πτύχας.
ἐρωδιῷ δὲ κατὰ πάντα πρὸς ὀστρέου,
τοῦτ᾽ ἔργον ἐστὶ συντελοῦν εἰς τὸν βίον.

### Περὶ Κύκνου.

Κύκνος θανατῶν, ἐμμελεῖς φθόγγους πλέκει.
καὶ τῆς τελευτῆς δεξιοῦται τὸν χρόνον.
τοῦ ζῆν τὸ θανεῖν ἀσφαλέστερον κρίνων.
ἀνίσταται γὰρ τῶν πτερῶν ἡ πυκνότης.
νεύρων τάσιν οὐ τέχνον ἐκμιμουμένη.
καὶ πλῆκτρον εὐθὺς ὁ ζέφυρος γίνεται.
καὶ τῷ φυσικῷ τοῦ τραχήλου βαρβίτῳ,
κινεῖ τὸν εἱρμὸν τῶν μελῶν ὁ τεχνίτης.
πανηγυριστὴς εὑρεθεὶς τῆς ἐξόδου.
βακχεύεται δὲ τοῖς ἀπίστοις ἐλπίσι.
ποθῶν ἀτέχνως τὴν φθορὰν ἐπιτρέχειν.
ἄνθρωπε φιλόψυχε τὸν κύκνον βλέπων,
πρὸς τὴν τελευτὴν εἰ φρονεῖς, μὴ στυγνάσης.

### Περὶ Γεράνων.

Τὶς τὴν στρατιὰν τῶν γεράνων ὁπλίσας
θεσμοῖς φυσικοῖς, καὶ πτεροῖς ὀξυδρόμοις,
ἐπὶ τὰ κατ᾽ Αἴγυπτον ἐξάγει μέρη.
τὸ τοῦ ψύχους φεύγουσαν εὐτέχνως βέλος.
ὃ κρύπτεται μὲν ὡς φαρέτρα τῇ Θράκῃ.
λυμαίνεται δὲ τὴν ὑπόπτερον φύσιν,

ὑπαιθρίοις πνεύμασιν ἐστομωμένον.
τίς ἕρμα ποιεῖ ταῖς γεράνοις τὰς λίθους,
ἃς ἐγκαθειργνύουσι τοῖς παρισθμίοις,
πρὸς τὰς ὑπὲρ γῆς ἐμβολὰς τῶν πνευμάτων,
δεδοίκασι γὰρ ἐκ τροπῆς ἀταξίαν.
ὅταν ὁ ταρσὸς τῶν πτερῶν τοῖς ὀρνέοις,
ἔρημον ἰχνῶν πανταχῶν τέμνη τρίβον.
εἰς ὁρμαθὸν τρίστοιχον ὀξυγωνίου.
τίς αὖθις αὐτῶν ἐκδοθείσας τὰς λίθους.
ὅταν ὁ μακρὸς τοῦ πτεροῦ λήξῃ δρόμος.
ποιεῖ κριτικὰς τοῦ χρυσοῦ τοῖς ἐμπόροις.
ὅταν δὲ καθεύδωσι ῥαστώνης χάριν,
ποίου στρατηγοῦ τακτικοῦ γνοῦσαι νόμους,
εἴργουσι πᾶν ἔξωθεν εἰσπίπτον δέος.
σωτῆρσι πιστοῖς, καὶ σκοποῖς ἀνεσπέροις.
οὓς τίς πάλιν ἔπεισε παρ' ἄλλοις λίθοις
ἀσκωλιάζειν εἰς ἀκάματον στάσιν.

## Περὶ Περδίκων.

Λάγνον τὸ φιλόθηλυ περδίκων γένος.
τὰ γὰρ ἐν ᾠοῖς ὀργανούμενα βρέφη,
συγκλῶν ὁ πατὴρ τῇ στροφῇ τῶν ὀστράκων,
κτείνει πρὸ καιροῦ δυσμενῶς καὶ συγχέει.
καὶ τὴν φυσικὴν ὁ φθορεὺς λύει σχέσιν,
ὡς ἂν ἐπ' αὐτῆς ἐνθυμῇ τῆς συζύγου,

τὸ μητρικὸν τύρβασμα τιθεὶς ἐκ μέσου.
εἰσὶ δὲ πολλαὶ φιλότεκνοι μητέρες,
αἳ τοὺς τόκους κλέπτουσι τοῦ γένους χάριν.
καὶ τῶν πτερῶν θάλπουσι τῇ ζέσει κρύφα.
καὶ τοὺς ἑαυτῶν εὐτυχοῦσι φιλτάτους.
εἰ γὰρ ἐπεκράτησαν οἱ παιδοκτόνοι,
τῶν περδίκων ἔρημος ἦν ἂν ἡ κτίσις.
εἰσὶ δὲ τινὲς καὶ γλυκεῖς φυτοσπόροι.
οἳ καὶ συνωδίνουσι ταῖς θηλυτέραις.
καὶ συνεπωάζουσιν ἐξ εὐσπλαγχνίας.
καὶ συνδιατρίβουσιν ἐξ ἀπληστίας.
καὶ τοὺς νεοττοὺς ἐσιτῶσιν ἀφθόνως.
ἂν τῶν πονηρῶν ἐκραγῶσιν ὀστράκων.
ἔτι δὲ καὶ πτήσσοντας ὡς μικροψύχους,
εἴ τις θόρυβος αὐτοῖς ἐμπέσῃ.
καὶ τῇ ψυχῇ κάμνοντας ὡς βραχυπτέρους,
ἀπολαβοῦντες εὐθὺς τὴν κατάπτερον στέγην.
σφίγγουσι καὶ θάλπουσιν ὡς ἐρασμίους.
κἂν ὀρνιθευτὴς ἐκταράξῃ τὰ βρέφη,
τέχνῃ σοφῇ νικῶσιν οἱ φυτοσπόροι,
τῶν μητέρων τὸ φίλτρον ἐκμιμούμενοι.
χαλῶσι μὲν γὰρ τὸ πτερὸν παραυτίκα.
εἰλούμενοι δὲ παρὰ τοὺς τούτου πόδας
δοκοῦσι μικροῦ συμπατεῖσθαι τοῖς τρίβοις.

καὶ τὴν φυγὴν κλέπτουσι τῶν ζητουμένων.
τοὺς ἀπατηλοὺς ἐξελίττοντες δρόμους.
καὶ τοὺς ἀπαγεῖς οὐκ ἐῶσι φιλτάτους
εἰς χεῖρας ἐχθροῦ συμπεσεῖν ὡς ἀπτέρους.
ὁ γὰρ ἐφιστὰς εἰς κενὸν τὰς ἐλπίδας,
ἀφεὶς τὰ μικρὰ, πρὸς τὰ μείζονα τρέχει.
μόλις γεμὴν φεύγουσι τὴν τυραννίδα.
μᾶλλον δὲ τὴν ὕποπτον αὐτόθεν βλάβην.
μικρὸν δὲ μικρὸν, οἱ καλωσάντες τόπου,
τὰ σικτὰ συλλέγουσι μακρόθεν βρέφη.
τῇ τῶν ἐφολκῶν μουσικῇ προσφθεγμάτων.
καὶ τὴν καλιὰν τὴν καλουμένην ἅλω,
πέρδιξ βασιλεὺς, ταῖς γωνίαις διαπλέκει.
θαυμάσιόν τι χρῆμα. καὶ τέχνης γέμον.
ξύλοις γὰρ αὐτὴν μαλθακοῖς ὑφαρμόσας,
θάλαμον ἀπέφηνε μικροῦ τὴν στέγην.
κἀνταῦθα λαβὼν, ἐγκαθίζει τοὺς τόκους.
οἷς καὶ κόνιν μάλιστα λεπτὴν ἐγχέων,
τῆς φύσεως τὸ κάλλος ἀναφαιδρύνει.
καὶ γῆν παραθεὶς πορφυρὰν πρὸ τοῦ τρύφους,
ὡς ἡ πελειὰς ἁλμυρίδα τοῖς τόκοις,
τοὺς κακοσίτους, εὐσίτους εἰργάσατο,
πλὴν οὐκ ἀναμένουσι τὰς λοχευτρίας
πρὸς τὴν ποθεινὴν ἐκγλυφὴν τὰ νήπια.

πρὸς τὴν ποθεινὴν ἐκ γλυφῆς τὰ νήπια.
ἀλλὰ περιῤῥήγνουσι τὴν ἔξω σκέπην,
ἐν τοῖς ὑποκρούμασι τῶν σφαδασμάτων.
ἐπείγεται γὰρ ἐκδραμεῖν πρὸ τοῦ χρόνου.
καὶ μικρὸν ἐκκύπτοντα κινεῖται πλέον.
καὶ θερίζεται μὲν εὐχερῶς τὸ θριγγίον.
διίπταται δὲ καὶ βαδίζει καὶ τρέχει,
ἰσχνῶς τὰ λεπτὰ κακκαβάζοντα βρέφη.
τῶν θηλέων δὲ μὴ παρόντων εἰς γάμον,
χωρεῖ πρὸς ὀργὴν ὁ χορὸς τῶν ἀῤῥένων.
ἐμφύλιον δὲ συγκροτήσαντες μάχην,
οὕτως ἐνυβρίζουσι τοῖς νικωμένοις.
ἐν ἡμέραις δέ φασιν ἑπτὰ μὲν κύειν.
καὶ τοὺς νεοττοὺς ἐν τοσαύταις ἐξάγειν.
καὶ πάλιν αὐτοὺς ἐν τοσαύταις ἐκτρέφειν.
καὶ τὴν καλιὰν ἐν τοσαύταις ἐμπλέκειν.
οἱ θηρατικοὶ τὰς γονὰς τῶν περδίκων.
εἶναι δὲ πειθοῦς δεκτικὰς χειροτρόφου.
καὶ ζῆν ἐν εἱρκταῖς. καὶ τρυφᾶν ἀφ' ἑστίας.
οὐ πείθεται δὲ συροπέρδιξ ἐνθάδε.
βραχύτερος γάρ ἐστι. καὶ πάντως μέλας.
καὶ ζῇ περιττοὺς ἑστιώμενος λίθους.
τὸ δὲ δριμὺ σκόροδον εἰ πέρδιξ φάγοι,
βιβρώσκεται μὲν παρὰ τοῖς βορωτέροις.

νοσεῖν δὲ ποιεῖ ναυτιῶσαν τὴν φύσιν.
ἄρρενα δὲ πέρδιξ τὴν ὁμόζυγον βλέπων,
ἑστῶσαν ἀγχοῦ τοῦ θεάτρου τῆς μάχης.
ὅταν ἀναθλῇ, συντονώτερος μένει.
αἰσχύνεται γὰρ μὴ κρατῶν ὡς αὐθάδης.

## Περὶ Ἀλεκτρυόνος.

Ἀλεκτρυὼν μέντοιγε νικῶν τὴν μάχην,
σφριγᾷ καθαρῶς, καὶ σοβεῖ, καὶ τέρπεται.
νικώμενος δὲ, μετριάζει σωφρόνως.
καὶ ζῇ σιωπῶν εὐαρίθμητον χρόνον.
νοσεῖ γὰρ εὐθὺς, καὶ θανεῖν θᾶσσον θέλοι.
πάλιν δὲ μακρὰν αὐθαδῶς ὑποτρέχων,
αὐτοκράτωρ μέγιστε, τὸν λόφον κλίνει.
δοκεῖ γὰρ αὐτὸν εἰ προσεγγίσει μόνον,
εἰς θραῦσιν ἐλθεῖν, καὶ ῥυῆναι τὸν τῦφον.

## Περὶ Νήττης.

Τὶς νῆτταν ἰδὼν βασιλεῦ, μὴ θαυμάσῃ.
ἡ νήχεται μὲν εἰς ὕδωρ ἐπιδύσασα.
πρὶν ἔργον μαθεῖν ἐν σχολῇ διδασκάλου.
καταδύεται δὲ, καὶ πάλιν ἀναδύει.
καὶ τὴν κεφαλὴν δαψιλῶς διαβρέχει.
νηττοκτόνος δὲ κίρκος εἰ ταύτην ἴδοι,
κάτεισιν εὐθὺς ἐκ νεφῶν, ὡς ἁρπάσων.
ἡ δὲ, σκέπην τὸ ῥεῖθρον εὑρίσκει ξένην.

καὶ γίνεται μὲν εὐφυὴς εὐθυδρόμος.
τὴν ζωτικὴν εἴργουσα τῆς πνοῆς χύσιν.
ἀλλαχόθι δὲ τῆς ῥοῆς ἐκκύψασα,
πάλιν ἐκεῖνον εἶδεν. εἶτα κατέδυ.
χρόνῳ δὲ τῆς ἐνταῦθα λυθείσης μάχης,
ὁ μὲν, πάλιν ἀπῆλθεν. ἡ δὲ, νήχεται.
πλουτοῦσα λουτρὸν εὐκραῶν καθαρσίων.
ἔστι δὲ κίρκος ἄλλος αὐσονοκράτωρ,
ὃς νῆτταν ἰδὼν, καταπτὰς ὑψόθεν,
καὶ συγκαταδὺς αὐθάδως, ἀπεπνίγη.

Περὶ χηνός.

Ὁ χὴν δὲ θερμὸς, καὶ διάπυρος φύσει.
καὶ φιλόλουτρός ἐστιν ἐν ταῖς νήξεσι.
πόας δὲ καὶ θρίδακας ὑγρὰς ἐσθίων,
ποιεῖ διαρρεῖν εὐμαρῶς τὴν γαστέρα.
καὶ πλὴν ἰατρῶν, καὶ διαίτης βιβλίου,
δάφνης τὸ φύλλον οὐδὲ πεινῶν ἂν φάγοι.
φθερεῖ γὰρ αὐτὸν, ἡ τροφὴ παραυτίκα.
λίθον δὲ τῷ στόματι μὴ κλάγξῃ στέγων,
ὅπερ καλοῦσι ταῦρον, ἀμείβει πάγον.
τοὺς ἀετοὺς γὰρ φασὶ τοὺς χηνοσκόπους,
ἐκεῖσε δεινῶς ἐλλοχᾶν πρὸ τοῦ ψύχους.

Περὶ

## Περὶ ἴβεως.

Ἶβις οὐ ἀκταῖς τὴν τροφὴν παρεκλέγει.
καὶ πίμπλαται μὲν ἡ στροφὴ τῶν ἐντέρων.
ἐμφράττεται δὲ τὸ στενὸν τῆς ἐξόδου.
καὶ φρύγεται μὲν τῇ παρὰ φύσιν ζέσει.
λύει δὲ τὴν ἔμφραξιν ἐξ ὀπισθίου.
κλυστῆρα λοξὸν ὀργανοῦσα τὸ στόμα.
ἅλμην γὰρ ἐγχέασα ῥευστὴν εἰς βάθος,
ἀφῆκεν ὑγρὰς τῆς πυγῆς τὰς ἐκκρίσεις.
καὶ πλὴν ἰατρῶν, καὶ γραῶν, καὶ φαρμάκων,
δύσοιστον ἀπέρριψε κοπρίας βάρος.
καὶ τῶν λιβυκῶν ἐμφαγοῦσα σκορπίων,
ἀνεῖλε γοργῶς τοὺς ὑποπτέρους ὄφεις.
ἥκοντας εἰς αἴγυπτον ἐξ ἀραβίας.
αὕτη νεοττεύουσα φοινίκων μέσον,
ὕποπτον ἐκπέφευγεν αἰλούρου θράσος.
καὶ τῆς σελήνης οὐ παρῆλθε τοὺς δρόμους
μειουμένης κράτιστε, καὶ πληρουμένης.

## Περὶ Σαλαμάνδρας.

Τὴν σαλαμάνδραν κἂν ἀήρ, κἂν γῆ τρέφει,
οὐ ὀστέοις γάρ ἐστιν ἰσχνὸν σαρκίον.
καὶ δέρμα λιτὸν καὶ πτερῶν ἔχει σκέπην.
ἀλλ' οὖν σπινιδῶν αὐσονάρχα θαυμάσῃς.
τὸ πῦρ γὰρ αὐτὴν οὐ φοβεῖ τὸ παμφάγον.

ἐμπίπτει δὲ, καὶ διώκει τὴν ζέσιν.
καὶ σβέννυσι μὲν τῆς καμίνου τὴν φλόγα.
κινεῖ δὲ πυκνὴν τοῖς βαναύσοις ἀσβόλην,
ψυχρός τις αὐτοῖς ἀνθρακεὺς διειλεγμένη.
καὶ ζῇ μεταξὺ τῆς πυρᾶς καὶ τοῦ βρόμου.
καὶ ἄπωπα καπνοῦ, καὶ δριμύτητος πνεύματος,
τῆς αἰθάλης πρὸς ὕψος ἠρεθισμένης.

### Περὶ Ἀηδόνος.

Ὅταν ἀηδὼν ἀκροώμενον βλέπῃ,
μελῶν ἀγαθῶν ἐξερεύγεται κτύπους.
ἀγχίστροφον γὰρ τὴν βοὴν διαπλέκει.
καὶ γαργαλισμοὺς ὀργανοῖ κεκλασμένους,
ἐκ τῆς ἐν ἀκμῆτα κερασμοῦ συνεργίας.
καὶ μακρὸν ἂν, δήπουθεν εὐφραίνοι χρόνον.
εἰ μή τις αὐτὴν ἐκταράττοι συγχέων.
ὅταν δὲ γῆν ἄβατον ἀνθρώποις ἴδοι,
τὸν φθόγγον ἁπλοῖ, καὶ βραχὺν παραπτύει.
μελῶν δὲ ῥυθμοὺς ἐκδιδάσκει τὰ βρέφη.
τὸν πυκνὸν ἐγκόπτουσα τοῦ φθόγγου δρόμον.
ἀηδόνος δέ που τις εἰ φάγοι κρέας,
ἄγευστον ὕπνου τὴν φύσιν ἐργάζεται.
ταύτην κατασχὼν, ἄφες ἐκπτῆναι πάλιν.
οἰχήσεται γὰρ ἐν σιγῇ παραυτίκα.
τὸν ἐκ λύπης θάνατον ἁρμοσαμένη.

## Περὶ χελιδόνος.

Ἔχει τι καινὸν ἡ χελιδόνος φύσις.
εἰ γάρ τις αὐτῆς εὐπραγοῦσι τοῖς τόκοις,
φθορεὺς ἀκερδὴς ἐξορύξει τὰς κόρας,
λαβοῦσα σεπτὴν ἡ σοφὴ μήτηρ πόαν,
πρὸς ἣν ἰατρῶν ἀσθενεῖ τέχνη βλέπειν,
αὖθις τὸν ἐσμὸν ὀμματοῖ τῶν φιλτάτων.
ἃ καὶ κρόκῳ βαφέντα, λευκαίνει πάλιν.
πρὸ τῆς πτερωτῆς αὐσονοκράτορ σκέπης.
ἄλλη πόα σμήχουσα τὴν ἀμορφίαν.
πηλοῦ δὲ μὴ παρόντος εἰ κτίζειν θέλοι,
ψεκάσι πυκναῖς τὸ πτερὸν διαβρέχει.
καὶ χοῦν ἐπ' αὐτοῦ συντεθέντα λαμβάνει.
καὶ τὴν καλιὰν ὀργανοῖ πρὸ τῶν τόκων,
ἐναντίαν δέ φασι τῇ τῶν ὀρνέων,
τὴν μίξιν αὐτῶν εὑρεθῆναι καὶ ξένην.

## Περὶ φαττῶν.

Σῶφρον τὸ φαττῶν αὐσονοκράτορ γένος.
ἀλλότριον γάρ ἐστιν ὀθνείου λέχους.
κἄν τις τὸ σεμνὸν τοῦ γένους ἀτιμάσῃ,
θνήσκει παρευθύς, ὑπὸ τῶν ἀνευθύνων.
αἳ ζῆν μόλις κρίνουσι τὴν μοιχαλίδα.

### Περὶ τρυγόνων.

Ὀρχούμενοι δέ τινες ἀπάτης χάριν,
τὰς τρυγόνας θηρῶσιν ἐκ τῶν ᾀσμάτων.
κηλοῖ γὰρ αὐτὰς ἡδονή τις ἐνθάδε.
κἂν σωφρόνως φυλάττωσι τοὺς νόθους γάμους.
ὥστε σκοπεῖν δεῖ τὰς παρ' ἡμῖν παρθένους.
μή τις μελουργὸς πορνικῶν ἐπασμάτων,
εἰς ἡδονῆς θήρατρον αἰσχρῶς ἑλκύσῃ.

### Περὶ γλαυκός.

Αἱμύλον ἡ γλαὺξ ἡ φιλέσπερος φύσει.
σκοπεῖν γὰρ εἰκὸς τῆς πανούργου τὸν δόλον.
μωκωμένη τὰς ὄρνις ἡμέρας ὅλης.
καὶ ποικίλῃ στρέφουσα μορφῇ τὴν θέαν,
σαίνει τὰ μικρὰ τῶν ὑποπτέρων γένη.
ἃ καὶ παραμένοντα μέχρις ἑσπέρας,
ὅταν ἔχῃ τὴν ὄψιν ἀσφαλεστέραν,
τῆς νυκτερινῆς εἰς ἐρυείσης ἰκμάδος,
θηρᾷ παρελθοῦσ'. καὶ τρυφᾷ χωρὶς πόνων.
τὸν μισθὸν ἀπέχουσα τῶν ἀθυρμάτων.

### Περὶ Κόκκυγος.

Κόκκυξ παρελθὼν εἰς καλιὰς ὀρνέων,
οἷς ἐστιν αὐτὸς ἐμφερὴς ἐκ τῶν τόκων,
τίκτει μεταξὺ τὰς γονὰς τῶν ὀστράκων.
τῶν γὰρ καλιῶν τὰς γονὰς παρατρέχει,

καὶ τοὺς περιπλοῦς τῶν κυλίνδρων συγκλάσας.
οὓς εὗρεν αὐτοῦ συντεθέντας ὁ πλάνος.
ὡς ἂν ὁμαλῶς ἀντιτάξῃ τοὺς τόκους.
καὶ πᾶσαν αὐτῶν ἐκτελῶν ὑποψίαν,
τὰς ἁρπαγὰς τῆς κλοπῆς μὴ φαυλίσῃ,
κοῦφος λαθὼν ἔξεισι τῶν ἀλλοτρίων.
τὸ γὰρ πετεινὸν ὡς κρυμῶδες τὴν κρᾶσιν,
νεοττοποιεῖν ἐκ πυρᾶς οὐκ ἰσχύει.
ὅταν δὲ τὴν ἔκλειψιν ὁ χρόνος δράσῃ,
κόκκυξ ἐπελθὼν, συγκομίζει τὰ βρέφη.

### Περὶ Κίγκλων.

Τοιαῦτα φασὶ μηχανᾶσθαι τοῖς τόκοις,
καὶ κίγκλον αὐτὸν ὡς ἀνίσχυρον φύσει.
τὸ πῦρ δὲ γεννῶν, τοὺς πυριγόνους τρέφει.
οἳ κἂν μετ' αὐτὸ βασιλεῦ τὸ παμφάγον,
τὸν ἀέρα πνεύσωσι τὸν ζωηφόρον,
θνήσκουσιν εὐθὺς, ἐκ φθορᾶς ἀντιστρόφου.

### Περὶ Τεττίγων.

Τοὺς ἄρρενας δὲ τῆς γονῆς τῶν τεττίγων,
ποιεῖ φιλῳδοὺς ἡ μαγὰς τῆς ἰξύος.
οἱ νυκτερινῆς ἐμφορούμενοι δρόσου,
τὸν ῥυθμὸν ἐντείνουσιν εἰς μεσημβρίαν.
ὅταν τὸ θερμὸν τὰς νοτίδας ἁρπάσῃ.
καὶ τοὺς ἀγωγοὺς τῶν μελῶν ἐκικμάσῃ.

θῆλυς δὲ σιγῶν εὐπρεποῦς νύμφης τρόπον,
καὶ τῶν γυναικῶν σωφρονίζει τὰς λάλους.
αἰδοῦς νόμων ἄῤῥητον ὠδίνων μέλος.

περὶ κνωδάλων.

Πολυπλόκους τείναντες ἐς θήραν βρόχους,
θρᾶκες μὲν ἠρεμοῦσιν, ὥστε λανθάνειν.
κίρκοι δὲ συμμαχοῦντες αὐτοῖς ὑψόθεν.
ἐκδειματοῦσι τὰ πτερωτὰ κνώδαλα.
τὰ δὲ, πρὸς αὐτοὺς ὑποφεύγει τοὺς βρόχους.
ἐν ταῖς περιβολαῖς δὲ συνωθουμένους,
αἱροῦσι χερσὶ τοὺς φυγάδας ἀθρόους.
καὶ μισθὸν εἰσφέρουσι τοῖς ὑπερμάχοις.
ἐκ τῶν δι᾽ αὐτοὺς εὐχερῶς εἰλημμένων.
εἰ δ᾽ οὔ, ἀγαθῶν ἐστερήθησαν φίλων.
ὡς δευτέρους ἥκοντες οἱ θρᾶκες βρόχους.

περὶ κινναμώμου.

Ὄρνις ὁ κινάμωμος ὠνομασμένος.
τὸ κινάμωμον εὗρεν ἀγνοούμενον.
ὑφ᾽ οὗ καλιὰν ὀργανοῖ τοῖς φιλτάτοις,
μᾶλλον δὲ τοῖς μέλασιν ἰνδοῖς αὐτάναξ,
ἀρωματικὴν ἡδονὴν διαπλέκει.

Περὶ μελισσῶν.

Ἐγὼ δὲ τιμῶν τῶν μελισσῶν τοὺς νόμους,
φιλῶ μὲν αὐτῶν αὐτονάρχαν τὴν φύσιν.

μισῶ δὲ τοὺς κηφῆνας ὡς νωθεῖς φάγους.
μέλισσα μὲν γὰρ ἡ φιλεργὸς τεχνῖτις,
ἔλυσε τὰς πτέρυγας δι᾽ θὺς ἡμέρας.
εἰς τὴν ποθεινὴν συλλογὴν τῶν ἀνθέων.
κηφὴν δὲ λαθὼν, εἰς τὸ σίμβλον ἐκρύβη.
τέως γεμὴν ἔμεινεν αὐτοῦ πουζέμων.
ὁ κλὼψ ὁ δειλός. ὁ θρασὺς θηλυδρίας.
ἐπεὶ δὲ νὺξ ἦν. καὶ βαθὺς ἤδη γνόφος,
τὴν μὲν φιλεργὸν, ὕπνος εἷλε νήδυμος.
αὐτὸς δὲ τὰς σύραγγας ἐνδὺς ἀτρέμας,
ἥδυσον ἐτρύγησεν ἐκ τούτων μέλι.
ἡ σύντονος δ᾽ ὅμως καὶ σοφὴ καὶ τεχνῖτις,
τὸν κρυπτὸν ὑπώπτευσεν αὐτίκα δόλον.
καὶ συλλαβοῦσα τῆς τρύγης τὴν ἐργάτιν
ἔμπικρον ἀπέφηνε τὸ βρωθὲν μέλι.
τοῖς τε πτίλοις παίσασα τῶν μεταφρένων,
ἐξεῖλεν αὐτὸν τῆς κλοπῆς τετυμμένον.
μετὰ δὲ μικρὸν εἰς ἐνεὶς αὖθις χρόνον.
τὴν ἐσχάτην ἔδωκεν ὁ φθορεὺς δίκην.
ἐχρῆν γὰρ αὐτὸν ὡς ὑπόπτερον λύκον,
τοῖς τῶν μελισσῶν ἐμπεσεῖν ἀκοντίοις.
ἢ μᾶλλον ἐχρῆν μὴ πνεῖν ἐθισμένον,
τοῖς τῶν φιλεργῶν ἐκτριβῆναι κεντρίοις.

Α γρὸν δὲ πάντως ἄλλο συμβιοῦν γένος,
ἐφίπταται μὲν τῇ χλιδῇ τῶν ἀνθέων.
οὐ δύναται δὲ καὶ γλυκὺ πλάττειν μέλι.
συναίρεται δ' οὖν ἐξ ἀμίσθου φροντίδος.
τῇ τῶν φιλέργων πανταχῆ περιστάσει.
ἡ μὲν γὰρ αὐτῶν ὑδραγωγὸς εὑρέθη.
τὸν αὐλὸν ἀντείνασα τοῖς παρισθμίοις.
ὡς ἂν ἐπ' αὐτῆς εὐπορῶν τῆς παστάδος.
ὁ τοῦ γένους ἔξαρχος ἀφθόνως πίνοι.
ἡ δὲ, προβομβεῖ. καὶ προπέμπει τὰ στίφη.
καὶ δημαγωγεῖ τακτικῶς ἐν τοῖς πόροις.
ἡ δὲ, πρὸ παντὸς εὐμαθοῦς ἱπποκράτους,
νεκρῶν μελισσῶν, ἐκκομίζει φορτία.
μήπως ἔχῃ τὰ σίμβλα τῇ σήψει φθόνην.
ἄλλη δέ τις ἄγρυπνον εἰς φέρει πόνον.
τῇ τῆς φυλακῆς ἀκριβεῖ παραστάσει.
μὴ τὰς φιλέργους ἡσυχαζούσας τέως,
λαθών τις ἐχθρὸς, εἰς φθορὴν πρὸς ἑσπέραν.
καὶ τὸν τοσοῦτον ὄλβον αὐτῶν ἁρπάσῃ.
τις οὖν βασιλεῦ τῆς μελίσσης τὴν φύσιν,
προγνωστικὴν ἔδειξεν εἰς ὄμβρων χύσιν.
ναρκᾶν γὰρ ἂν εἴποι τίς ἂν παρὼν βλέποι.
τὴν πρὶν φιλεργὸν τὸ κρυμὸν σκοπουμένην.

ὡς καὶ γεωργοῖς, καὶ νομεῦσιν ἀγρόταις,
χειμῶνα δεινὸν ζωγραφεῖν εἰς αἰθρίαν,
ἐκ τῶν ἀτέχνως μαντικῶν πετασμάτων.
καὶ γὰρ παρ' αὐτὸν ἐγχρονίζει τὸν πόνον.
καὶ μικρὸν ἐκκύψασα τοῦ σίμβλου χρόνον.
ὅταν ὁ καιρὸς τῆς νομῆς ἀναγκάσῃ,
πάλιν θυραυλεῖ συντεμοῦσα τὸν δρόμον.
ἐξίπταται δὲ ταῖς πνοαῖς ἀντιστρόφως,
ὑπερφέρουσά τινα τοῖς ποσὶ λίθον.
ὡς ἕρμα ληφθεὶς ἐμβριθῶς πρὸς τὸν πόρον.
μὴ παρασυρῇ ταῖς ῥοαῖς ἡ λεπτότης.
ἥκιστα γὰρ ἂν εὐπλοήσοι καὶ σκάφος,
οὗ μηδὲν ἀπόγιμον ἡ πλάστιγξ φέρει.
καὶ ζῇ μὲν ἁγνὸν ἡ σοφὴ σχεδὸν βίον,
ἄγευστος οὖσα νεκρικῶν ἀσπαραγμάτων.
ζώου δὲ παντὸς οὐχ ὑποπτήσσει θράσος.
ὁπλίζεται γὰρ ἀσφαλῶς τῷ κεντρίῳ.
καὶ τῇ φυσικῇ τῆς ψυχῆς εὐτολμίᾳ.
καὶ φιλόμουσός ἐστιν ὡς ὄρνις τάχα.
σκιρτήσασαν γὰρ εἰς φυγὴν τὴν ἐργάτιν,
ποιεῖ συριγμόν. ἐμμελὴς ὑποστρέφει.
θρύψις μὲν οὖν καὶ μύρα. καὶ χλιδῶν βίος.
οὐδὲν παρ' αὐτῇ. σωφρονεῖ γὰρ ἐκ πόνων.
σιώπιον δὲ καὶ λιθόστρωτον στέφος,

σὺν ἁρματισμῷ νυμφικῆς εὐκοσμίας.
πτερόντι καὶ χρὼς, ὃ κονίσαλον φέρει.
οὕτως τὸ βιοῦν εὐτελῶς ἐν τοῖς πόνοις,
καὶ τῶν γυναικῶν εὐγενίζει τὸν τρόπον.
ἃς τὸ πρὸς ἁβρότητα καὶ θρύψιν βλέπειν,
ἄλλως φιλέργους αὐτὸ συνάρχα δεικνύει.
κινεῖ γὰρ αὐτὰς τὸ πτερὸν τῶν ὀμμάτων
εἰς τὴν πονηρὰν ἐκλογὴν τῶν ἀρρένων.
ἐρωτικὸν δέ τινα βομβοῦσι κρότον,
ἐκ τῶν μελιχρῶν τῆς βοῆς πετασμάτων,
ὅτε προσιζάνουσιν αὐτοῖς ὡς πόσις.
οἱ καὶ τὸ πικρὸν τῆς ἁμαρτίας μέλι,
τρυγῶσιν αἰσχρῶς ἐλοχῶντες τοὺς γάμους.
πλήττουσι δ' οὖν τὰ κέντρα τοῦ συνειδότος.
κηφῆνας αὐτοὺς τῇ κλοπῇ δεδειγμένους.
Γ ρᾶος δέ τις ἄκεντρος, εὔζωνος, μέγας.
ἐρυθροβαφὴς εὐσταθὴς, καὶ γεννάδας,
θεσμοῖς φυσικοῖς τὸν στρατὸν διεξάγει.
κἂν ἀγανακτῶν πρὸς τὸν ὄχλον ἐκφύγοι,
ῥινηλατεῖ τὸ σμῆνος αὐτοῦ τὸν δρόμον.
καὶ πάλιν αὐτοῖς εὑρεθεὶς, ὑποστρέφει.
καὶ τὴν πρὸ μικροῦ βλαπτικὴν ἀναρχίαν,
λύει παρευθὺς ἐξορίζων τὴν στάσιν.
αἱ πλάστιδες δ' οὖν καὶ τὸ σειρήνων γένος.

αἳ τὸ γλυκὺ κτίζουσι τοῖς σίμβλοις μέλι,
τὴν βασιλικὴν ἐξυφαίνουσι στέγην.
ἐπὶ σκοπιᾶς ὀργανοῦσαι τὰς βάσεις.
περιβόλοις δέ τισι καὶ προαυλίοις,
κοσμοῦσιν αὐτὴν ἀσφαλῶς ἡ δρασμοσύνην.
ἐν οἷς ἑαυτοῖς ἐκδιώκει τοὺς πόνους,
ἡ πρεσβυτικὴ πᾶσα τοῦ σμήνους φάλαγξ.
καὶ πάλιν αὐτὴν ἀλλοκυκλοῖ θριγγίον.
ὃ πᾶς ἐν ἀκμῇ, καὶ πρὸ τῆς ἥβης ἔχει.
φρουροὺς ἀτεχνῶς τῶν γεραῶν δορυφόρων.
κλίνει δὲ καὶ τὸ κοῦτρον αἰδοῖ τοῦ κράτους.
ὅταν ἴδῃ μέλισσα τὸν βασιλέα.
ὃς ἐν μὲν ἀκμῇ τῶν μελῶν καὶ τῶν πτίλων,
ὅταν πεταθῇ τὰς φυλὰς συνεξάγει.
καὶ γὰρ ὁμαρτεῖ πανταχοῦ τῷ δεσπότῃ,
παρεμβολῇ τηροῦσα τακτικοὺς νόμους.
ἂν δὲ τριχωθῇ τῇ παρακμῇ τοῦ χρόνου.
καὶ τοῦ πτεροῦ τρίβοντος ὀκνῇ τὸν δρόμον,
τὸ σμῆνος εὐθὺς δίφρον ὀξὺν δεικνύει.
δι' οὗ φοράδην ὡς γέρων κομίζεται.
ὅταν δὲ σαλπίσῃ τὶς ἐκ βασιλέως,
ὡς ἀπὸ συνθήματος ὑπνοῖ τὰ στίφη.
καὶ κανόνος δέ τινος ἢ τέχνης δίχα,
καὶ μέλιττα ποιεῖ γραμμικὰς διαπλάσεις.

τοῖς γὰρ κάτω σύριγξιν ἐστηριγμέναις,
ἀνωτέρας πήγνυσιν ἀντισυνθέτους.
καὶ δημιουργεῖ τὰς ὀπὰς τὰς ἐν μέσῳ.
σχήμασιν. ἢ λήμμασιν ὀρθογωνίοις.
φραγμοὺς δὲ λεπτοὺς ἐμβιβάζει τοῖς πόροις.
ὡς ἂν ὁ κηρὸς ἐγχυθεὶς ὑφιζάνῃ.
καὶ συνέχῃ τὸ ῥεῦσαν ἡ πῆξις μέλι.
Ὄφις δὲ καὶ σφὴξ καὶ χελιδὼν καὶ φρύνος.
μύρμηξ τε καὶ σὴς αἰγιθαλὴς καὶ φάλαγξ.
καὶ σαῦρος ὠχρός. καὶ φανεῖν δεινὸς μέροψ.
σμιλώψ μελισσῶν δυσμενεῖς ὁδοιπάται.
νιφὰς δὲ πυκνή. καὶ πνοὴ πεφυρμένη.
δριμύς τε καπνὸς καὶ νεφῶν ἔπι γνόφος,
σοβοῦσιν αὐτὰς ἐκ τροπῇ καὶ συγχύσει.
Κίρκος δὲ λάρος. γύψ. τρυγών. καὶ κόσσυφος,
σίδην φαγόντες, εὐθὺς ἀπολώλασιν.
Θνήσκει δὲ καὶ κάνθαρος ἐγγίσας μύρῳ.
καὶ γὰρ φαγὼν σκόροδον, οὐκέτι πνέει.
καὶ τὸν μελαγκόρυφον ἄγνον ἐκτρίβει.
Κορυδαλὸν δὲ τὸ δριμὺ φθείρει νάπυ.
κέδρου δὲ φύλλον εἰ λαθὼν δήπου φάγοι
καλαμοδύτης, οὐ βλέπει τὸν ἥλιον.
Κεῖται δὲ νεκρὰ καὶ πνοῆς ἀλλοτρία,
ἂν τῆς ὑαίνης τὴν χολὴν ἶβις πίοι.

Φ θίσις δὲ τοῖς ἔποψι δορκάδων στέαρ.
Τ ὸν ἀετὸν δὲ τῶν ἐτῶν ὑπεξάγει,
ερωθὲν παρ' αὐτοῦ δυστυχῶς τὸ σύμφυτον.
Κ όραξ δὲ τὴν δύζωμον οὐ στέγει πόαν.
καὶ τῶν κορωνῶν τὸν πολὺν τέμνει χρόνον,
πτῶμα προληφθὲν εἰς βορὸν λύκου στόμα.
Γ ίππεια χαραδριὸς δὲ πτακίνου πάσας.
κτένει δὲ λιβὰς τὰς γεράνους ἀμπέλου.
στυγεῖ μὲν οὕτω μύραινα τοὺς πολύποδας.
μεμήνασι δὲ καράβῳ πολύποδες.
ὁ κάραβος δὲ ταῖς μυραίναις ἄχθεται.
καὶ ταῖς χελώναις ἀντίκεινται πέρδικες.
καὶ τοῖς ἐχίνοις οἱ ποταμογείτονες.
ἔχθος γε μὴν ἔχουσιν αἰθυίαις μέγα
μακροὶ πελαργοί. καὶ βραδύπτεροι κρύκες.
ἐρωδιὸς δὲ μισεῖ τοὺς λευκοὺς λάρους.
κορυδαλὶς δέ, πᾶσαν ἀκανθυλίδα.
καὶ πελεκὰν ὄρτυγα. καὶ πτῶκες κύνας.
τρυγὼν δὲ πυῤῥάν. τῆς δὲ κερδοῦς ἡ φύσις,
ἐχῖνον ἐχθρὸν οἶδεν, ὃν χέρσος τρέφει.
πάλιν κορῶναι δυσμενεῖς γλαυκῶν γένει.
κόραξ δὲ μισεῖ τὴν γονὴν τῶν ἰκτίνων.
πάγρον τε βρινθός. καὶ τρυγὼν πυραλλίδα.
τὴν τρυγόνα χλωρεὺς δέ, καὶ τοῦτον κόραξ.

δράκων δὲ κύκνον. ἀετὸν δὲ τὸν μέγαν.
αἰγυπιὸς δέδοικε. τὸν δὲ, τρωγλίτης
κτένει δὲ βουβαλίδα. καὶ ταῦρον λέων.
ὡς ἰνδὸν ἐλέφαντα πυρίπνους δράκων.
ὠτὶς δὲ κυνὸς ἁρπαγὴν φυλάσσεται.
καὶ τοὺς ὄνους αἴγιθος ἐχθροὺς ἂν κρίνοι.
οἱ μὲν γὰρ ὠγκήσαντο. τοῦ δὲ τοὺς τόκους,
ὅσους ἐν ὠοῖς εὗρεν ἐσπειραμένους,
ἀφῆκε νεκροὺς ἐκπεσόντας ὁ κτύπος.
ὄφεις δὲ πεφρίκασι καί τρα σκορπίον.
ἰχνεύμονες δὲ δειματοῦσιν ἀσπίδας.
ἀλέκτορες δὲ τῶν λεόντων τὴν φύσιν.
τούτους δὲ γαλῆ. μυγαλῆ δὲ παρδάλεις.
πάλιν ἀλώπηξ, δυσμενῆ κίρκον κρίνοι.
κόρακα ταῦρος. ἵππον ἰχθῦς ἀνθίας.
δελφὶς φάλαιναν. καὶ λάβραξ τὸν κεστρέα.
μύραινα γόγγρον. ἡ δ᾽ ὕαινα πάρδαλιν.
καὶ σκαλαβώτην ὁ φθορεὺς κλὼψ σκορπίος.
νάρκη δὲ τοῦτον. ἀστακὸς πολύποδα.
λέων δὲ πῦρ δέδοικεν ἐκτρόπως τρέμων.
ἁλίσκεται δ᾽ ὅμως σὺν χεραῖς οἷς λύκοις.
ἔποψιν ἡ μέλιττα. καὶ χελιδόσι,
τέττιξ φιλῳδός. ταῖς δὲ δορκάσιν, ὄφις.
καὶ παρδάλει πίθηκος, ὃν μῖμον βλέπεις.

τῆς ἴβεως δὲ τὸ πτερὸν μόνον βλέπων,
ἅπας ὄφις δέδοικεν, οὗπερ ἂν θίγοι.
ναρκῶν ὄφις ἐκεῖνος· ἂν δὲ καὶ φάγοι,
τέθνηκε ῥαγείς, ὁ φθορεὺς τὴν γαστέρα.
κύων δὲ σιγᾷ, κἂν ὑλακῆσαι θέλοι.
δειλὸν θεωρῶν ἐκ πυρᾶς φθισιμβρότου.
ἀνθίσταται δὲ πρὸς τὸ βάσκανον πάθος,
δάφνην φαγοῦσα φάττα. κίρκος πικρίδα.
πέρδιξ καλάμου. κίχλα μυρσίνης κόμην.
ἐρρωδιὸς καρκῖνον. ἄγρωστιν, ἔποψ.
φύλλα δρυὸς κόρυδος. ἴκτινος, θρύον.
ῥάμνον κορώνη. κίρκος ἀνθοῦντα κρόκον.
ἄγνον κόραξ ἔγκαρπον. ἡ τρυγὼν ἶριν.
λίνον δὲ ταὼς τοῖς πτεροῖς ῥύσας φέρει.
ἅρπη δὲ κιττόν. καὶ πελαργὸς πλάτανον.
ὃ μᾶλλόν ἐστι δυσμενὴς ὁ νυκτάλωψ.
καὶ γὰρ ἐν ᾠοῖς τὴν σπορὰν πεπηγμένην.
ποιεῖ διαρρεῖν, κἂν πτεροῖς ἄκροις θίγοι.
ἡ πλάτανος δὲ τὴν φιλέστερον πάλιν,
εἴργει πρὸ καιροῦ προσπελάζειν τοῖς τέκοις,
ναρκᾷ γὰρ εὐθὺς ἐμπεσοῦσα τῷ κλάδῳ.
φθορᾶς δὲ τηρεῖ τὰς γονὰς ὑπερτέρας,
εἰς τὴν καλιὰν ἀετὸς κρύψας λίθον,
Ὡς ἡ χελιδὼν τοῦ σελήνου τὴν κόμην.

ἐξάψασα δὲ τοῦ τραχήλου τὸν λίθον,
κύουσα γυνή, κερδανεῖ ζῶν τὸ βρέφος.
μίαν δὲ λαβὼν ἐκ ῥοῆς πεπνιγμένην,
καὶ τέφραν αὐτῆς ἐκ πυρᾶς ὑπεχέας,
τὸν νεκρὸν ὑπόθαλψον αὐγαῖς ἡλίου.
καὶ γὰρ ἀναζῇ. καὶ τροφαῖς ἐπιτρέχει.

Περὶ φρύνης.

φρύνην δέ τις κράτιστε τὸ ζῶον βλέπων,
ἣν ἡ φύσις ἔγραψεν αὐτὴν ὡς ῥόδον,
καθάπερ ἄλλων ὠχριᾷ πλὴν ἰκτέρου.
χαραδριῷ δὲ τῷ γαληνῷ προσβλέπων,
αὖθις νεουργεῖ τοῦ προσώπου τὴν θέαν.
ἐκτρίβεται γὰρ τῆς βαφῆς ἡ πυκνότης.
ὡς τοῦ νόθου φθίνοντος ἠρέμα κρόκου.
ἐν τοῖν δὲ δυοῖν τῇ φρύνῃ τοῖν ἥπατοιν,
τὸ μὲν, φθορὰν ἤνεγκε τοῖς κεκυμένοις.
τὸ δὲ, ξένον φάρμακον αὐτοῖς εὑρέθη.

Περὶ λέοντος.

θηρῶν βασιλεὺς ὁ θρασὺς ἄναξ λέων.
ᾧ τὴν φυσικὴν μαρτυρεῖ μοναρχίαν.
καὶ στέρνα. καὶ γόνατα. καὶ σφυρῶν βάσεις.
καὶ βλέμμα. καὶ θρίξ. καὶ κατάφρακτον στόμα.
ῥώμη τε πλευρῶν. καὶ βεβικὸς ἰσχύον.
καὶ νεῦρα πυκνά. καὶ ποδῶν μέγας ὄνυξ.

καὶ βῆμα,

καὶ βῆμα. καὶ σκίρτημα. καὶ δρόμου τάχος.
αὐχὴν δὲ παχὺς ἐξ ἀνάρθρων ὀστέων,
πρὸς τὰς ἀγωγὰς τῶν σκελῶν οὐ κάμπτεται.
συνέλκεται γὰρ τῇ στροφῇ τῶν ἁλμάτων,
εἰ καὶ τὰ θηρῶν γαυριῶν ἐπιτρέχει.
καὶ κοῖλον ὀστοῦν οὐκ ἔχει τὸ θηρίον.
ῥοφεῖ δὲ νοτερὸν δυσχερῶς ὅλον βρύχον.
ἀδδηφάγον γάρ ἐστι κἂν ἧττον πίνοι.
καὶ θυμοειδὲς, εἰ λιμός ποτε θλίβοι.
ἔθας δὲ μικροῦ, τοῖς παροῦσιν εὑρέθη.
τροφῆς κορεσθεὶς δαψιλοῦς ὁ γεννάδας.
ὅταν δὲ γηρᾷ. καὶ τροφῆς χρείαν ἔχοι,
ἐπεὶ τὸ θαρρεῖν εἰς τὸ θηρᾶν οὐκ ἔχει,
φοιτᾷ πρὸς ἀγροὺς, καὶ νομαῖς ἐπαυλίοις.

## Περὶ Λεαίνης.

Λέαινα δὲ κράτιστε πεντάκις κύει.
καὶ πέντε μὲν τὸ πρῶτον. εἶτα δὶς δύο.
καὶ τρεῖς ἐφεξῆς. τῷ τετάρτῳ δ' αὖ δύο.
καὶ σκύμνον ἁπλοῦν εἰς τὸ πέμπτον ἐκβάλει.
καὶ τίθεται κλεὶς τῆς γονῆς ταῖς ἐξόδοις.
τῆς φύσεως τὸν ἕκτον εἰργούσης τόκον.
δυοῖν δὲ μηνῶν τὰ βρέφη προέρχεται.
σκύλαξι τυφλοῖς ἐμφερῆ καὶ μετρίοις.
καὶ λευκὸν ἐμπίπτοντα μαστεύει γάλα.

δυοῖν δὲ μηνῶν, καὶ βαδίζει καὶ τρέχει.
καὶ τὴν φυσικὴν ἀρετὴν προδεικνύει.

### Περὶ Νάρκης.

Ναρκᾷ μὲν οὕτω ἄνθρωπος οὐκ ὄντος ψύχους.
νάρκην τὸν ἰχθὺν εἴπερ εἰς χεῖρας λάβοι.
καὶ πήγνυται ναῦς ἐντυχοῦσα ναυκράτη
καὶ ῥοῦς θαλασσῶν, ἀλκυὼν εἴπερ τέκοι.
ἵππον δὲ ταχὺν ἴχνος ἀμβλύνει λύκου.
καὶ δίφρον ὀξὺν, τὸ σφυρὸν τούτου στρέφει.
σιμοῖς δὲ φύλλοις ἀνθυποκλάζει λύκος,
λέων δὲ χαυνοῖ τοῦ δρόμου τὸ σύντονον.
ὢ θαῦμα καινὸν, τοῖς πετήλοις τοῦ πρίνου.
ζώων δὲ πᾶν. πόῤῥωθεν ἐκ φοβῶν γένος,
αὐτὸς τὸ πῦρ δέδοικεν ὡς φύσει ζέων.
κλοπῆς τηρεῖ τὰς γονὰς ἐλευθέρας.
τὰς καταγωγὰς δυστυχεῖν ἀποκρύφως.
προέρχεται γὰρ ἐξαμείβων τὰς τρίβους,
ὑπὸ τροχιαῖς, καὶ στροφαῖς πεφυρμέναις.
καὶ δρῶν ἀσαφεῖς τῶν ποδῶν τὰς ἐμφάσεις.
κέρκου σπαραγμοῖς ἐκ τριχῶν ἐσταλμένης,
ἣν οἶδε κινεῖν οὐ πρὸ τῆς μάχης μόνον,
τὸ θυμοειδὲς τῆς ψυχῆς παροξύνων.
ἐκ τῶν κατὰ βούλησιν οὐ χρῶμα στίλβων,
ἀλλὰ τὸ καινότατον αὐτὸν οκράζε.

εἰ καί τις αὐτὸν ὕπνος ἐκ πόνου λάβοι.
καὶ γὰρ βασιλεὺς εὑρεθεὶς θηροκράτωρ,
καὶ τοῦ καθεύδειν ὑπερόπτης γίνεται.
θηρῶν δὲ καὶ πάντων τῶν κρεῶν τῶν προσφάτων,
ὅταν κορεσθῇ τῆς τροφῆς τῆς ἀφθόνου,
ἐᾷ τὰ λοιπὰ νεκρικῶς ἐψυγμένα.
καὶ πνεῖ τι δεινὸν ἐγχανὼν τοῖς καταλειψάνοις
καὶ γίνεται τὸ πνεῦμα φυλακὴ ξένη.
δυσωδίας χάρακας ἱδρυσαμένη.
τηρεῖ γὰρ αὐτὰ κἂν θρασὺς θὴρ ἐγγίσῃ.
λέων γε μὴν ἔξεισιν εἰς θήραν πάλιν,
καθάπερ εἰς πῦρ τῆς τροφῆς πεπεμμένης.
κἂν μὲν τύχῃ βρώματος ἐξ εὐερμίας,
τὸ χθὲς προληφθὲν εὐγενῶς διαπτύει.
τὸ γὰρ ὀδωδὸς, οὐχ ἑκὼν ἄν τις φάγοι.
εἰ δ' οὖν, κατ' αὐτῶν εὐδρομεῖ τῶν λειψάνων.
καὶ τὴν πάλαι τράπεζαν εὑρὼν ἐσθίει.
πιέζεται δὲ τῷ τεταρταίῳ τρόμῳ.
νοσῶν ὑγιὴς εὑρεθεὶς εἰς τὸν βίον.
εἰ μὴ γὰρ ἡ φλέγουσα μικροῦ ψυχρότης,
ἐπεῖχεν αὐτοῦ τὴν φορὰν καὶ τὸ θράσος,
ὕποπτος ἂν ὄλεθρος ἡμᾶς ἐστρόβει.
καὶ πᾶν μὲν αὐτὸν ἁρπαγὲν τέρπει κρέας.
εἰ δ' ἐσθίει κάμηλον, εὖγε τῆς τύχης.

## περὶ κυνὸς ἰνδικοῦ.

Γαῦρος κυνὸς μέγιστος, ἰνδὸς πᾶς κύων.
ὃς οὐδὲ τὸν λέοντα παρόντα τρέμει.
ἀνθίσταται δὲ καὶ σφριγᾷ πρὸς τὴν μάχην.
καὶ τοῖς βρυχηθμοῖς ἀνθυλακτεῖ συντόμως.
ἐγκείμενον δὲ καρτερεῖ τὸν αὐθάδη.
καὶ δάκνεται μὲν, ἀντιδάκνει δὲ πλέον.
τέλος δὲ τοῦ τένοντος αὐτὸν ἁρπάσας,
ῥιπτεῖ κατὰ γῆς. καὶ σπαράττει. καὶ θλίβει.
κἄν τις ἐπελθὼν ἀποκόψῃ τὸ σκέλος,
τῷ τὸν μέγαν ἄγχοντι, καὶ πρὶν γεννάδαν,
μόλις ὁ νεκρὸς ὑπανήσει τὸ στόμα.

## Περὶ Μαντιχώρου.

Ὁ μαντιχώρας θὴρ ἐν ἰνδοῖς εὑρέθη.
δασύς. ἐρυθρός. εἶδος ἀνθρώπου φέρων.
ὄμματα πυρσοῖς ἐμφερῆ γλαυκοχρόοις.
ὀφρῦς ἱκανὰς ἐκφοβεῖν καὶ μακρόθεν.
ὦτα στεγανά. καὶ προμήκη μετρίως.
καὶ σφαιροειδῆ. καὶ ψιλὰ πρὸς τὰς βάσεις.
ὀδόντας ὀξεῖς. δυσθεώρητον στόμα.
τὰ δ' ἄλλα σαφῶς ἐντελὴς ὁ θὴρ λέων.
μόνην γεμῶν ἔγκεντρον οὐρὰν ἐκφύων.
ἑκηβόλος καί ἐστι τοξότης φύσει.

ποιεῖ δὲ νεκροὺς ταῖς βολαῖς τοὺς ὁπλίτας.
οἳ τοῖσδ' ἐν ὁρμαῖς ἐλλοχῶσιν ἀσχέτοις.
κἄν τις ἀπαντῶν εὑρεθῇ κατὰ στόμα.
γοργῶς ἀνακλῶν τῶν βελῶν τὴν ἐργάτιν.
ὠθεῖ κατ' αὐτοῦ καὶ προβαίνει συντόνως.
κινούμενον δ' ὅμως ὑπαναφύει πάλιν
καινοὺς ὀϊστοὺς καὶ τόμους τὸ θηρίον.
καὶ τῶν διωκτῶν οὐ βραχεῖ κατισχύει.
ὄντων δὲ πολλῶν τῶν παρ' ἰνδοῖς θηρίων,
καὶ πρὸς τὸ φαγεῖν ἀκρατῶν καὶ δυσμάχων,
ἀνθρωποφάγος οὗτος ἐκλήθη μόνος.
ἰνδὸς δὲ λαβὼν τὸ βρέφος τοῦ θηρίου,
λίθοις διαθλᾷ τὰ πρὸς ἄκρον ἰσχύον.
ὡς ἂν ἀφυὲς πρὸς τὰ κέντρα δεικνύων,
ποιῇ τιθασὸν ἐξ ἀφῆς ἀκινδύνου.

## Περὶ Μονοκέρωτος.

Ο μονόκερως θὴρ παρ' ἰνδοῖς εὑρέθη.
δεινὸς μὲν ἰδεῖν. εἰ δὲ λὰξ ἐπεισπέσοι,
βαρὺς μαχητής. εἰ δὲ κύψας οὐ δάκνοι,
μόλις ἰατρῶν εὐφυὴς χειρουργία.
πείσει παρελθεῖν τὴν φθορὰν τοῦ κινδύνου
σοβῶν δὲ πυκνὰ τὸν κορυφαῖον λόφον,
ὠθεῖ τὸ μακρόν. καὶ φθορᾶς πλῆρες κέρα

ὁ τῶν ἀγκαλῶν ἐκπεφυκὼς ὀφρύων.
οὐ κοῖλόν ἐστιν. οὐδὲ κοῦφον ὡς κέρας.
ἀλλ' ἐξ ὁμαλοῦς τῆς φυῆς προηγμένον.
τραχύτερον δὲ καὶ σιδηρέας ῥίνης.
ὡς εἰς ἑλιγμοὺς προσφυεῖς κεκλασμένον.
ὀξύτερον δὲ καὶ τεθηγμένου βέλους.
ὡς μὴ κεκυφὼς εἰς ῥοπὰς πάλιν τρόπους.
μέλαν δὲ πᾶν ἐκεῖνο τῆς ἀκμῆς δίχα.
ξανθὴν γε μὴν κράτιστε τὴν λάχνην φέρει.
οὐρὰν δὲ συός. καὶ λεόντειον στόμα.
καὶ θεῖν μὲν ὀξεῖς. ἀλλ' ἀνάρθρους τοὺς πόδας.
ἀσπάζεται δὲ τοὺς ἀπανθρώπους τόπους.
καὶ ζῇ παροικῶν καὶ πλανώμενος μόνος.
καὶ πρὸς μὲν ἀλλόφυλα θηρίων γένη.
ὁ θὴρ προσηνής, ὡς ἐθὰς ποίμνῃ σκύλαξ.
τὸ συγγενὲς δὲ καὶ κατὰ φύσιν φίλον.
ὡς ἀντίον μάλιστα καὶ δύσνουν κρίνοι.
πραΰνεται δὲ παρὰ τὴν θῆλυν μόνον.
οἴστρου χαλινοῖς ἐκδαμάζων τὸν τύφον.
ἕως τὸ ῥευστὸν τῆς γονῆς ἀφυβρίσῃ.
τοῖς κτήνεσι δὲ πᾶσι τοῖς κερασφόροις,
ἐγγάστριος μὲν ἀκριβῶς ἡ θερμότης.
ἡ τὰς τὸν ἐγκέφαλον ἀρδεύσας φλέβας,
χαυνοῦσα ποιεῖ συστολῆς ἐλευθέρας.
κἀκεῖ τι λεπτὸν ἐμπεφυκὸς ὀστέον,

τὰς ἀναπνοὰς τῆς τροφῆς προσλαμβάνει.
κινούμενον δὲ τῇ ῥύμῃ τοῦ πνεύματος.
τὸ τῆς χλιδῆς γόνιμον ἐκρεῖ τῶν πόρων.
οὗ οἷς τὸ μανὸν τῶν κροτάφων ὀστέον.
τὰς ἐξαπνοὰς ὀργανοῖ τῶν ἰκμάδων.
τοῦ συνεχοῦς πηγνυμένου αὐτὰς ἀέρος.
τὸ γοῦν ἁπαλὸν καὶ νεώτερον κέρας,
ὠθεῖ τὸ παχὺ ἐκδραμεῖν ἠπειγμένον.
καὶ ζητεῖ τὸ πάλιν ἄλλο κατόπιν τρέχον.
οὐ γὰρ δύναται τὸ ἀτρεμεῖν τὰς ἰκμάδας.
πηγνυμένας ἔσωθεν εἰς χαύνους τόπους.
Ἰνδῶν βασιλεῦ τῆς ἐμῆς φωνῆς συνές.
καὶ δὸς καθαρὸν εἰς ἀπόκρισιν λόγον.
τί δή ποτ᾽ ἐστὶν ὁ κρατὴρ εἰς ὃν πίνεις,
καὶ γὰρ διαυγὴς καὶ προμήκης εὑρέθη.
καὶ τρεῖς ἔχει ζωστῆρας ὡς λίθου φλέβας.
λευκόν τε καὶ μέλανα καὶ πορφύρεον.
ὄναγρος ἡμῖν ἐστὶ φησί τις μέγας.
ὃς τρίχα λευκὴν εἰς τὸ πᾶν δέρας φέρων.
αὐτὴν ἐρυθρὰν τὴν κεφαλὴν δεικνύει.
ἢ τούτου μοι δίδωσι τὸ ξένον κέρας.
ἐκκύπτον ἁπλοῦν τῆς λαβῆς τῶν ὀφρύων,
ἆρ᾽ οὖν μέθης εἴργειν λαμβάνεις χάριν;
ὁρῶ γὰρ αὐτοὺς καὶ κατὰ πῆχυν μέγα.

ἡ φιλοτιμία καὶ πρόπινσις τὴν θέαν,
καὶ μὴν ἀναιρεῖ τὴν κακὴν ἡ δ' ὃς μέθην,
ἰοῦ τε παντὸς ἀντιφάρμακον μένον.
ἣν ἱερὰν καλοῦσι καθαιρεῖ νόσον.
ἀστράγαλον δὲ καὶ χολῆς κύστιν φέρων.
τῶν μονύχων βέλτιστε τῶν ἄλλων μόνος,
ὁ τὸν γαληνὸν τὸ κεράτινον φύων,
οὗ τὸ κέρας ἄβρωτον ἐξ ἀηδίας,
θεῖ μάλα γοργόν. εἰ δὲ κρύπτειν θέλοι,
φεύγει πτερωτὸν ἐκμιμούμενος τάχος.
φονεὺς γάρ ἐστι κἂν παρέλθῃ λακτίσας.
Ο ἶδα τί κυνόμορφον ἀνθρώπων γένος.
ὃ φθέγγεται μὲν οὐδὲν, ἀλλ' ὠρύεται.
παντὸς δὲ κυνὸς εὐδρομώτερον μένον,
τοὺς θῆρας αἱρεῖ. καὶ σιτεῖται τὰ κρέα,
ξανθέντα. καὶ φρυγέντα. φωσφόρου ζέσει.
στολίζεται δὲ τὰς δορὰς τὰς ἐκπόνων.
καὶ ζῇ λυποῦν ἄνθρωπον ἁπλῶς οὐδένα.
ἰνδῶν τε συνίησι φωνῆς ὀξέως.
καὶ βοῦς. χάριν γάλακτος ἠπίως νέμει.
Η γῆ μὲν ἰνδῶν, δένδρον ἐς ὄρος φύει.
τὸ δὲ τρέφει κράτιστε θηρίον πάλιν.
κανθαροειδὲς ἐκ δορᾶς τῶν ἀκρίδων.
ἠλέκτρινον γάρ ἐστιν αὐτῷ τὸ τρύφος.

ἔχει δὲ λεπτοὺς καὶ προμήκεις τοὺς πόδας.
καὶ τοῦτον ῥιπτῶν ὁ κναφεὺς ἐκ τῶν κλάδων,
νιφάσι πυκναῖς εὐτελῶν ἀκοντίων,
ἔκτινος εὐθὺς μηχανῆς ἀποθλίβει.
σὺ δὲ βλέπων θαύμαζε τὰς φοινικίδας.
ἃς εἷλε χερσὶ τῆς βαφῆς ὁ τεχνίτης.
ἡ γὰρ ἀποστάξασα τῇ θλίψει δρόσος,
ἀνῆκον αὐτοῖς εὐφυοῦς ῥόδου χρόαν.
Α νθρωπόμορφον εἶδον ἰνδὲ θηρίον.
τί δήποτ' ἐστί. φράζε φησὶ τὴν πλάσιν.
πολλῶν γὰρ ἡμεῖς εὐποροῦμεν ἀγρίων.
Π ρόσωπον ἀνδρὸς εἶδον ἰνδὲ καὶ κόμην.
καὶ στέρνα. καὶ τράχηλον ἄχρις ἰξύος.
καὶ χεῖρας αὐτὰς ἀνδρικάς. καὶ δακτύλους.
ἔπειτα μαζοὺς ὡς γυναικὸς ἡρμοσμένους.
ῥάχις δὲ πλευρά. λαπάραι. γαστήρ. πόδες.
ὄνον καθαρὸν ἐργάνουσι τὴν θέαν.
ὀξύπαιζον δὲ καὶ βαρύθυμον μαίον,
βάδην μὲν οὐ πρόεισιν. ὡς θὴρ δὲ τρέχει.
καὶ γὰρ κινεῖ τὰς χεῖρας ὡς καὶ τοὺς πόδας.
καθήμενον δὲ, πανευσταθῆ μηδὲ δρόμον.
ἔστι δὲ καὶ τεφρῶδες ἰνδὲ τὴν χρόαν.
θνήσκει δὲ ληφθὲν ἐκ λιμοῦ, κἂν ᾖ βρέφος.
τὸ δούλιον γὰρ ἦμαρ, οὐ θέλει βλέπειν.

ὀνοκένταυρος ἐστὶν αὐτὸς ὡς λέγεις.
ζῶον πονηρὸν εἶπεν ἰνδὸς πρὸς τάδε.

Ὕδωρ διανέοντες ἀθρόοι λύκοι,
μήπως τὸν ἐσμὸν ἡ ῥοὴ περιτρέποι,
τὰς οὐρὰς ἐνδακόντες ἀλλήλων μόνον,
πρὸς τοὺς ἰλίγγους διαδρομοῦσι τῶν πόρων.
λύκος δὲ φαγὼν. καὶ κορεσθεὶς, οὐ λύκος.
ἀλλ' ἀμνὸς ἂν φαίνοιτο ποιμνίων μέσον.
οὐ δύναται γὰρ ὁ φθορεὺς ἐπεσθίειν.
ἀλλ' ἔστιν οἰδῶν τῇ τροφῇ τὴν γαστέρα.
καὶ τὴν ὑπογλωττίδα τῶν παρισθμίων.
καὶ τοῦ κόρου πεφθέντος ἐν βραχεῖ χρόνῳ,
ὁ θὴρ πάλιν δείκνυσι τὸν πρῶτον λύκον.
βραχὺν δὲ τὸν τράχηλον ἐκ νώτων φέρων,
ἐπιστρέφει τὸ σῶμα. καὶ βάδην τρέχει.
καὶ ταῦρον ἰδὼν ἐξελίττει τὸν δρόμον.
τὰς γὰρ ἀκωκὰς τῶν κεράτων οὐ στέγει.
καὶ τῆς γε δειρῆς τὸν τοσοῦτον ἁρπάσας,
διασπαρακτὸν ἐκλυθέντα δεικνύει.
ὁρᾷ δὲ μακρὰν ὀξυδερκὴς ὢν φύσει.
καὶ γλαὺξ ἀτεχνῶς ὑπὸ νύκτα. καὶ σκότος.
θνήσκει δὲ γοργῶς. μὴ δὲ συμβάσης νόσου.
φαγὼν πόαν κράτιστε τὴν λυκοκτόνον.

Ἄσημον ἄρκος ἀποτεκοῦσα κρέας,

σοφῶς διαρθροῖ, καὶ τυποῖ, καὶ φαιδρύνει.
καὶ δημιουργεῖ πλαστικῶς εἰς τὸ βρέφος.
λεάνασα δὲ μαλθακῆς γλώττης πόνῳ,
καὶ λασίοις θάλψασα μηροῖς τὸν τόκον,
ἐνῆκε θηλὴν μητρικὴν τῷ φιλτάτῳ.
Ἀῤῥὴν μὲν ἦν ὕαινα τὸν χθές που χρόνον.
θῆλυς δὲ τὸν νῦν. δρᾷ τε καὶ πάσχει πάλιν.
καὶ μητροπάτωρ οὐκ οἶδ᾽ ὅπως γίνεται.
κύουσα καὶ σπείρουσα τὴν διφυΐαν.
ἂν ἐντύχῃ δέ τινι καθεύδοντί που.
ἐν ἡσύχῳ προῆλθε πελμάτων βάσει.
καὶ τὴν ἑαυτῆς δεξιὰν ἐντείνασα,
καθῆκεν εἰς τὴν ῥῖνα τοῦ κοιμωμένου.
κάρου γὰρ εἶναι φασὶν αὐτὴν ἐργάτιν.
ὀρύξασα δὲ τῇ κεφαλῇ πυθμένα,
προὔθηκε τὴν φάρυγγα γυμνὴν ὑπτίαν.
ἣ μάλα δεινῶς τῆς φονώσης ἐμφύσης.
ὁ παῦλαν αἰτῶν, δυστυχῶς ἀπεπνίγη.
πάλιν δὲ καθεύδοντος εἴ που τις θίγοι,
τῇ δεξι  πτέρυγι τῆς θαλαττίας,
ἄῤῥην εὐθὺς ἐμβαλεῖ τούτῳ φρίκην.
καὶ δεῖμα πολλῶν αὐσονάρχα φαρμάκων.
ὕαινα δὲ τίκτουσα τὰς κυνὰς δύω,
τῶν θηρατικῶν ἑστιᾶται σαρκίων.

Περὶ πιθήκων.

Π όθεν τὸν αὐτὸν οἱ ταχεῖς πίθηκες χρόνον,
ἄλλους μὲν ὠδίνουσιν εἰς φῶς ἐκ γονῆς.
ἄλλους δὲ κατέχουσιν ὡς νωθεῖς ἔτι.
πρὸς δευτέραν γέννησιν ὀργανουμένους.
καὶ πρὶν ἐπελθεῖν τὴν γονὴν τὴν ὑστέραν,
ἄλλους πάλιν κύουσιν ἐξ ἄλλου σπόρου.

Περὶ χαμαιλέοντος.

Χ αμαιλέων κράτιστα τὸν χρῶτα τρέπει.
σαῦρος γὰρ ὢν ἄντικρυς οὐκ ἔχει τρίχας.
καὶ νῦν μὲν ὠχρός. νῦν δὲ φαιὸς γίνεται.
εἶτα πελιδνός. εἶτα κιῤῥὸς εἰς βάθος.
καὶ νῦν ἐρυθρὸς, καὶ παραυτίκα μέλας.
καὶ στικτὸς ἂν γένοιτο δορκάδος δίκην.
καὶ ξανθὸς ἂν φαίνοιτο καθάπερ λέων.
οὕτω δὲ τοῦ σώματος ἀλλοιουμένου,
τὸ λευκὸν ἠγνόησεν ἡ φύσις μόνον.
στεῤῥὸν δὲ τῷ στόματι κατέχων ξύλον,
ὄφεις λυπεῖ σφύζοντας αὐτὸν ἐσθίειν.
καὶ γὰρ ἑαυτὸν εὐφυῶς ἐπιστρέφων,
μάτην περιχαίνοντας αὐτοὺς δεικνύει.
κἄν τις δινηθεὶς τὴν φρένην ἐνδάκοι,
ποῦ τοῦτο δεινὸν τῷ τὸ κάρφος ἠρμένῳ.
καὶ γὰρ στεγανὴν ἐνδιδύσκεται σκέπην.

καὶ τῶν πονηρῶν ἐξελέγχει τὸ θράσος,
τοῦ ζῴου σοφιστὴς εὐμαθὴς ὢν αὐτόθεν.

Περὶ Σαύρου.

Σαῦρον τὸν ὠχρὸν, εἰ τεμὼν διασπάσεις,
ἁρμόζεται ζῶν ταῖς τομαῖς οὕτω πάλιν.
εἰσὶ δὲ σαφῶς τῶν μερῶν αἱ συνθέσεις,
ὅταν ὁ νεκρὸς τοῖς ποσὶν ἐφερπύσῃ.

Περὶ Ἐχίνου.

Καί τις ἐχῖνον συντριβέντα σκορπίσας,
ὃν εἶδον ἀκτῆς εὐμενὴς κόλπος τρέφειν.
τάχ' ἂν ἴδοι κράτιστα συντεθειμένον.
καὶ ζῶντα τὸν πρὶν δυστυχῶς τεθραυσμένον.
ὅς εἰ πολὺς τὸ ῥεῖθρον ἐκμαίνοι κλύδων,
εἰς τὰς ἀκάνθας ἐμβριθεῖς ἄρας λίθους.
μήπως ὑπαχθεὶς ἐκκυλισθῇ τῇ ῥύμῃ,
πρὸς τὸν μυκηθμὸν καρτερεῖ τῶν βρασμάτων.

Περὶ Ἐχίνου χερσαίου.

Ἐχῖνος ἐκ γῆς οἶδον ἀκάνθαις βρύων.
καὶ ταῖς πρασιαῖς ἐκκυλινδεῖται κρύφα.
καὶ ταῖς ἐκεῖθεν ἐμπαρείσαις ἰσχάδας,
εἰς τοὺς ἑαυτοῦ φωλεοὺς θησαυρίσας,
οὐκ ἔσχε λιμοῦ συμφορὰν ὀλεθρίου.
συστέλλεται δὲ, καὶ τὸ πᾶν σῶμα στρέφει.
καὶ τῶν ἀκανθῶν τὰς λαβὰς ἀπευθύνει.

τὸν θηρατὴν ἔγγιστα παρόντα βλέπων.
δοκεῖ δὲ νεκρὸς τὴν πνοὴν ὑποπνίγων.
εἴπου γε μὴν θέλοι τίς αὐτὸν λαμβάνειν,
δι' οὖς ἐνουρῶν τὴν ῥοὴν διαβρέχει.
ἀνθίσταται γὰρ χαλεπαῖς νόσων βίαις,
ἂν οὐ μολυνθῇ τῇ βροχῇ τῆς αἰσχύνης.
Ο ὖρον δὲ λιγγὸς ἐκτραχυνθὲν εἰς λίθον,
στερρός τις ἐστὶν ἐγκοπεὺς πρὸς τοὺς λίθους.
τῆς κύστεως δὲ τοὺς βαρεῖς ἄλλως λίθους,
εἰς πῦρ κομισθὲν, καὶ ποθὲν, διαθρύβει.
Τ οῦ γοῦν ἐχίνου τὴν σποδὸν κεκαυμένου,
πίττῃ νεωστὶ συντεθεῖσαν εἰς χρίσιν,
φασὶν ἰατροὶ καὶ ψιλοῖς τρίχας φύειν.
οἴνω δὲ λευκῷ συγκραθεῖσαν εἰς πόσιν
ἀλγοῦσι νεφροῖς εὑρεθῆναι φάρμακον.
ἧπαρ τε καρμὸν ἐκ πυρὰς ἀναψύχειν.
καὶ φλεγμονῆς οἴδημα συστέλλειν ῥέον.
Λ αβὼν τίς ὀπτὴν ἱπποκάμπου γαστέρα,
λύτταν κυνικὴν εἰσφθαρεῖσαν ἐξάγει.
οἴνω δὲ συζέσασαν οὐκ ἂν ἐσθίοι.
κινεῖ γὰρ εὐθὺς ἡ τροφὴ τὴν γαστέρα.
καὶ γίνεται λύγξ. εἶτα βήξ. εἶτα τρόμος.
εἶτα σπαραγμὸς καὶ μελῶν. καὶ καρδίας.
καὶ πρὸς τὸν ἐγκέφαλον ὁρμῶσα ζέσις.

λήθη

λήθη τε καὶ μύκημα. καὶ βαρὺς κάρος.
καὶ βλέμμα νωθρόν. ἀλλὰ πῦρ σχεδὸν φέρον.
καὶ χύσις ὑγρῶν ἐκ ῥινὸς παχυτέρων.
καὶ δίψος ὡς φλὸξ ἐκπιέζον τὴν φύσιν.
καὶ μετρίου ῥεύματος ἐν τούτοις χρόνου
παρ' ἁρμῶ τιναχθὲν, πᾶν τὸ σῶμα ῥήγνυται.

### Περὶ μυγαλῆς.

Ἡ μυγαλὴ δέδοικεν ἐκ τόπω φύσει,
γραμμὰς ἁμαξῶν ἐκ τροχῶν εἰργασμένας,
ναρκᾷ γὰρ αὐταῖς, ἐμπεσοῦσα καὶ τρέμει.
βραδύνουσα δὲ, καὶ τελευτᾷ πολλάκις.
καὶ τοὺς ὑπ' αὐτῆς δυστυχῶς δεδηγμένους,
ἐκεῖθεν ἀρθεὶς, ἐξιᾶται χοῦς μόνος.
καὶ γὰρ τὸ λυποῦν εὐμαρῶς ὑπεξάγει.
βραχὺς ἐπ' αὐτῆς τῆς τομῆς πεπασμένος.

### Περὶ Κροκοδείλου.

Ὠὸν δὲ σωρὸν ὁ κροκόδειλος κύει.
μετὰ δὲ τὴν ἔκλειψιν εὐθὺς τῶν τόκων,
ἔγκεντρος ἐξέρπει τὶς αὐτῶν σκορπίος.
ὑφ' οὗ τελευτᾷ πρὸς φθορὰν πεπληγμένος,
Αἰθιόπων δράκοντες εἰ θηρᾶν δέοι.
χαίνοντες ἀθμαίνουσιν εἰς τὸν ἀέρα.
καὶ τῶν πετεινῶν τὰς κρεμαστὰς ἀγέλας,
ἴυγξι θερμῆς εἰς πνοῆς κηλουμένας,

δι

καὶ στομωμένας ἄνωθεν εἰς γῆν ἀθρόας,
ἐκ τῶν γνάθων ἕλκουσιν εἰς τὴν γαστέρα.
θῆρας δὲ νυκτὸς ἐκμοχλῶσι δυσμάχους.
καὶ βοῦς πιθασούς. καὶ κριοὺς ἐξ αὐλίων.
ἄμαχον ἰσχὺν δυστυχοῦντες αὐτάναξ.
Δόνακι τυφθεὶς ὁ θρασὺς ἅπαξ ὄφις,
κεῖται θανατῶν. ἂν δὲ τύψῃς πολλάκις,
ὀργᾷ κατὰ σοῦ. καὶ προβάλλει τὸ στόμα.
πρὸς ἀντιπαράταξιν ἠρεθισμένος.
Δακὼν ὄφις ἄνθρωπον αὐσονοκράζε,
αὖθις ὑπελθεῖν τοὺς μυχοὺς οὐκ ἰσχύει.
τῆς γῆς ἀγαθὴν εἰσφερούσης τὴν δίκην.
ἐᾷ γὰρ αὐτὸν ὡς φονευτὴν ἀλήτην,
πικρῶς διαζῆν εἰς νομὰς ὑπαιθρίους.
Ἡ θρὶξ δὲ τὰς ἄνωθεν ἐκπέμπει τρίχας.
ἃς ἡ φύσις ἔθηξε καὶ πρὸ τῆς μάχης.
φρίξασα γὰρ τὰ νῶτα βάλλει τοὺς πέλας.
ὡς ἀπὸ νευρᾶς εὐτυχὼν τις τοξότης.
Τῆς ἀσπίδος τὸ δῆγμα, δῆγμα θανάτου.
μή, μή, γαληνὲ μὴ δὲ φάρμακον χέῃς.
ὁ σφιγμὸς ἐξέλιπεν. ὁ ζῶν ἐρρύη.
καὶ σὺ τὸ θαρρεῖν ὡς ὄνησον εἰς φέρεις;
ἔα. νικᾷ τὸ δῆγμα τὴν εὐτεχνίαν.
Λύκος τις ἱπποκρατεῖς ἀκριβῶς ὄφις.

ἐπὶ κεφαλῇ γαυριῶν κερασφόρῳ.
τὸν ἄνδρα δάκνων, τῆς πνοῆς ὑπεξάγει.
τί γοῦν ἐπ' αὐτῷ δυσφοροῦντι πρακτέον.
οὐκ οἶδα φησί. πρὸς γὰρ ἄχρονον πάθος,
ὃ καθάπαξ εἰσέδυσεν εἰς τὴν καρδίαν.
ἢ τῶν ἰατρῶν, ἐκπεφαύλισται κρίσις.
ἆρ' ἡ νόσος παρῆλθε καὶ τοὺς σοὺς ὅρους,
τῶν ἀφορισμῶν εἰς κενὸν πεφρασμένων;
τί [illegible]. νάρκης τὴν περίστασιν τρέμων.
ὦ σῶτερ ὀκνεῖς, καὶ τριβὴν ζητεῖς χρόνου.
παρὸν κατ' αὐτοῦ τῆς νομῆς τῆς ἐν βάθει,
ἢ δεσμόν. ἢ σίδηρον. ἢ στέαρ φέρειν,
ἢ φαρμάκου κύλικα θερμοῦ τὴν κρᾶσιν.
ἐγὼ δὲ λαβὼν εὐτελῆ φύλλαν μόνην.
ἀπόκρυφον γὰρ ἐκκαλύπτω νῦν λόγον,
καὶ θεὶς ἐπ' αὐτῆς τῆς λαβῆς τοῦ δήγματος,
λύω τὸ λυποῦν. καὶ κατείργω τὴν νόσον.
καὶ τῆς τελευτῆς ἐξορίζω τὸν φόβον.
Εἴ τις ὦ κράτιστε παρ' ἰνδοῖς ὄφις.
ὃς πιθαμῇ τὸ μῆκος. ἡ δέ γε χρόα.
δοκεῖ φέρειν ἔξαλμα βαθὺ πορφύρας.
καὶ πᾶσα λευκὴ τῆς κεφαλῆς ἡ πλάσις.
καθάπερ ἁπλοῦν καὶ νεόβλυτον γάλα.
καὶ ζῶν μὲν αὐτὸς, ἐνδακεῖν οὐκ ἰσχύει.

νωδὸς γάρ ἐστι. καὶ ψιλὸν χοῦν ἐσθίει.
ἄλλους δὲ νύκτωρ, καὶ κρεμασθεὶς ἡμέρας.
καὶ κατὰ μικρὸν τὴν πνοὴν ἀποκρίνων
ἰχῶρα τοῦ στόματος ὑγρὸν ἐκπτύει.
καὶ πήγνυται τὸ ῥεῦσαν εἰς εἶδος μέλαν.
ἄλλας δὲ νεκρὸς αὖθις ἐγχεῖ λιβάδας.
αἳ δακρύων ἔχουσιν ἀργολίθου χρόαν.
τούτων βασιλεῦ καὶ σαπῶν δήπου μία,
νεκρὸν παρευθὺς τὸν πάντα δεικνύει.
ὁ μὲν γὰρ ἐγκέφαλος οὐκ ἔχων βάσιν,
ἐκ τῶν ἀπωτῶν τῆς ῥινὸς διαρρέει.
τὸ σύντονον δὲ τῆς φθορᾶς τῶν ὀμμάτων,
πυκναῖς τὸ ληφθὲν ἐκ τροπαῖς διαστρέφει.
σπασμόν τε ποιεῖ. καὶ θρασύδειλον τρόμον.
καὶ δακρύων ἄκλαυστον ἐκεῖθεν χύσιν.
τὸ πρόσδρομον δὲ καὶ βαφῆς ἄνθη μέλαν,
ἀκμὰς ὀδυνῶν, καὶ χρονίζουσαν φθόνην,
καὶ κνησμόν. καὶ βῆχα. καὶ θερμὸν κάρον.
καὶ καρδίας βρύχοντα παλμὸν εἰς φέρει.
Γ ατῶν δέ τις χέρσυδρον οὐκέτι πνέει.
κἂν ἄλλος εὐθὺς τοῦ παρελθόντος θίγοι,
τοῖς δακτύλοις κράτιστε φλυκταίνας φύει.
ὄφις δέ τις ἄθυμος ἐκ γῆς ἀρράβων,
κτείνει φονευθεὶς, τὸν φονευτὴν ὀξέως.

πλῶν ἐν συριγμοῖς, καὶ πνοῆς δεξιόδοις,
ὑφ' ὧν διαῤῥεῖ· καὶ χιτὼν καὶ σαρκίον·
νωθὸς γὰρ ἐστι· καὶ πατάσσει μετρίως·
ἀλλ' εἰς τὸν ἰνδὸν τὸν ποταμὸν τὸν μέγαν,
ἐστι τις ὡς λέγουσι πορφυροῦς λίθος·
ὃς καὶ φυσικῶς ἐκδιώκει τοὺς ὄφεις,
ὡς λιβανωτίς· καὶ καλαμίνθη χλόη·
καὶ πυκνόφυλλος ἄγνος ἐψηκασμένος·
καὶ γίνεται πῦρ εἰς χυθεῖσαν ἰκμάδα·
ῥιπίζεται δὲ καὶ τὸ θερμὸν ἀμβλύνει·
δριμύν τε καπνὸν πυρπολούμενος βρύει·
καὶ ταῖς γυναιξὶν ἀδρανῆ δρᾶ τὰ βρέφη·
καὶ δῆγμα δεινὸν εὐμαρῶς ἀνατρέπει·
Γ λῶ εἰς τὸν ἰνδὸν τίκτεται σκώληξ μόνος·
ὃς ἐστιν ἑπτάπηχυς εἰς ἧττον πάχος·
ζῶον δὲ πᾶν καὶ ξύλον· ἀλλὰ καὶ λίθον·
ὀδοῦσι δυσὶν αὐτονάρχα συντρίβει·
καὶ κρύπτεται μέν· εἰ δὲ ταῖς ὄχθαις πίνοι,
κάμηλος· ἢ βοῦς, ἐμφυνεῖσα τῷ πνίγει,
ἢ ἕρπασε δὴ τὸ κτῆνος ὑπανερπύσας,
τοῦτον δέ τις κύμβαχον ἐξάψας βρόχον,
ὑγρὰν κατ' ἐχθρῶν εὐτυχῶν ἔγνω φλόγα·
καὶ γὰρ ὁ νεκρὸς ἀνθρακηδὶς, ἢ πυρφόρος,
ἠλεκτροειδὲς ἐκ ῥινὸς λείβει στέαρ·

ὡς ἐκ παραπτέρματος ὠργανωμένον.
ἰνδὸν βασιλεῦ τὸν μελάγχρουν, ἢ ῥόμην
ἐκ λιβύης ἥκοντα τῆς παρηλίου.
πῶς τὴν πόαν κείρουσιν ἐξ ὀπισθίου.
βόες παρ' ἡμῖν εἰς νομὰς ἠθροισμένοι.
ὅπη γε φησὶν οὐχ ὁρῶσι τὰ πρόσω.
ἐγκείμενον γὰρ τῶν κεράτων τὸ πλάτος,
τὴν ὀπτικὴν δύναμιν αὐτοῖς ἀμβλυνεῖ.

Περὶ Ἔχιος.

Ἔχις δὲ θερμὸς προσπλακεὶς τῇ συζύγῳ,
καὶ τὸν τέως ἥδιστον ἀνύσας γάμον,
κεῖται φονευθεὶς ὑπὸ τῆς ἐρασμίας.
τούτῳ σὺν ὀργῇ λανθανόντως ἐμφύσης,
καὶ τὸν σοβαρὸν ἐκτεμούσης αὐχένα.
πλὴν ἀλλ' ὁ μὲν, τέθνηκεν. ἡ δὲ νῦν κύει.
μικρὰ δὲ μικρόν τινα τὰ βρέφη χρόνον,
τὴν μητρικὴν ῥήξαντα νηδὺν ἐξέδυ.
μὴ, γοῦν τετιμώρηκε τῷ φυτοσπόρῳ;
Ἔχις δὲ καὶ μύραινα συνδυαζέτην.
ὁ μὲν, πρὸς αὐτὴν τῆς ὀπῆς ἐξερπύσας.
ἡ δὲ, πρὸς αὐτὸν ἐκ ῥοῆς ἀνηγμένη.
καὶ πρὶν βασιλεῦ συνδραμεῖν εἰς τὸν γάμον,
ἐμεῖ τὸν ἰὸν ὡς γλυκὺς ὁ νυμφίος.
καὶ τοῦ συριγμοῦ ταῖς ἴυγξιν αὐτίκα,

παρακαλεῖ πρὸς λέκτρα τὴν ἐρωμένην,
καὶ τοῦ παρ' ἀμφοῖν συντελεσθέντος γάμου,
ὁ μὲν, τὸν ἰὸν αὖθις ἀνιμήσατο.
καὶ κατὰ τῆς γῆς θᾶττον ἐρπύσας ἔδυ.
ἡ δὲ πρὸς ὑγρὰς ἀπενήξατο τρίβους.
Π ρηστίς. κριός. ζύγαινα. πάρδαλις. λέων.
καὶ φύσαλος μέγιστος κητῶν δ' ἴρέθη.
εἰσὶ δὲ νωθρὰ, τῷ βαρὺν ὄγκον φέρειν.
καὶ φωτὸς ἰθυνόντας ἐστερημένα,
ἡγουμένους ἔχουσιν ἰχθῦς τῶν τρίβων.
ἃ κατόπιν τέμνοντα τὸν ῥόον τὸν μέγαν,
πατάσσεται γὰρ τοῖς πτεροῖς τῶν συννόμων,
ἡ τοῦ προσώπου κύματος ἀντιτυπία.
χαίνουσι. καὶ λάπτουσι καθάπερ κύνες.
ὡς ἂν τὸν ἑσμὸν ἐκροφῇ τῶν ἰχθύων.
καὶ τὴν παρεμπίπτουσαν ἀφθόνως ὕλην.
τούτων δὲ κἂν εὖ ὡς θεόφραστος λέγει,
ἀναρραγῇ πρὸς ὕψος ἐκ τοῦ πνεύμονος,
παπαὶ κλύδων πόρρωθεν, οὐκ ὄντος γνόφου,
καὶ χέρσος ὑγρὰ, καὶ κινούμενος λόφος.

Περὶ Δελφῖνος.

Ι χθῦς ὁ δελφὶς. ἀλλ' ἂν ἴδοι ναυτίλους,
σκιρτᾷ πρὸς αὐτοὺς ἀναφυσῶν ἀσμένως,
καὶ συμπαρατρέχει. καὶ προπέμπει τὸ σκάφος.

αὖραν δὲ τῷ πλῷ σωστικὴν προμηνύει.
καὶ μετρίου κύματος ὑπτίαν χύσιν.
ἥδιστον ἀφρὸν ἐκδιδοὺς τῶν ἁλμάτων.
ἔχων δὲ τὴν κίνησιν εἰς πάντα χρόνον,
εἰ δή τι μικρὸν καὶ καθεύδειν τὴν φύσιν,
εὐθὺς ἀναδὺς ἐξ ἀδήλου πυθμένος,
κεῖται καθ' ὑγρῶν ἐκταθεὶς ἐπὶ στόμα.
καὶ τοῦ βάρους ἄνωθεν ὁρμῶντος κάτω,
κρουσθεὶς ὑπ' αὐτοῦ καθάπαξ τοῦ δαπέδου,
ἀνατρέχει πρὸς ὕψος ἐκ βάθους πάλιν.
Λέων μὲν αὖ πίθηκον εἰ γηρῶν φάγοι,
πρὸ τοῦ γαληνοῦ δεξιοῦται τὴν φύσιν.
καὶ γὰρ ἀνηβᾷ. καὶ σφριγᾷ τῷ φαρμάκῳ.
Δελφὶς δὲ κάμνων, ἐξορίζει τὴν νόσον,
ὅταν φάγοι πίθηκον ἰχθὺν ἀφθόνως.
τοκὰς δὲ δυοῖν εὑρεθεῖσα φιλτάτοιν,
ἡ δελφὶς ἡ θήλεια τοῦ γένους χάριν.
ἔδειξε φιλόστοργον ὡς χρὴ τὴν φύσιν.
προέρχεται γὰρ ἐν μεγίστοις κινδύνοις.
ἕως ἂν ᾖ δύναμις αὐτοὺς ἐξάγειν.
παρὸν δὲ βιοῦν εἰς νομὰς ἀκινδύνους,
ἡ δ' εὐθὺς ἀνήρητο σὺν τῷ νηπίῳ.
εἴ τις ἁλιεὺς ἢ τομὸν ῥίψας βέλος,
ἢ τρίχα πλεκτήν. ἢ νενησμένον βρόχον.

ἀνεῖλον αὐτὸν γειτνιῶντι τῇ πορθμίδι.
τρέφει δὲ καὶ γάλακτι λευκῷ τοὺς τόκους.
προσθεῖσα μαζοὺς ὡς λεχὼ παιδοτρόφος.
Δελφὶς δὲ ληφθεὶς ἐντελὴς τῷ δικτύῳ.
τέως μὲν ἡσυχάζει τὴν τύχην φέρων.
καὶ τοὺς παρεμπίπτοντας ἰχθῦς ἐσθίων.
ἐπεὶ δὲ τῆς γῆς ἤδη ψαύσας μόνον,
τὸν κύρτον εὐθὺς ἐκτεμὼν ἀπαλλάγῃ.
αὐλοῦ δὲ τυχών, καὶ στερηθεὶς βραγχίων,
ἔμεινε παντὸς ἀλτικώτερος γένους.
πνοῆς γὰρ ὁλκὴν ἐνταθεῖσαν τοῖς πόροις.
παρακρατῶν καθάπερ ἀνὴρ τοξότης,
τινάσσεται μέν, ὡς ὑπόπτερον βέλος.
πλωτοῦ δὲ παντὸς ὑπεράλλεται σκάφους.
καὶ φιλόμουσός ἐστιν ἡ τούτων φύσις.
καὶ θέλγεται μὲν εἰ παρακούει λύρας.
βδελύττεται δὲ τοὺς κενοὺς αὖθις κτύπους.
προνήχεται δὲ τῶν κατ' αὐτοὺς ταγμάτων
ὁ τῶν νέων ὅμιλος. αἱ δὲ μητέρες,
ἑξῆς μετ' αὐτούς. πρὸς δὲ ταῖς θηλυτέραις,
ἴδοι τις ἂν φάλαγγα πυκνὴν ἀρρένων.
φρουρῶν. ὁ παίδων. οὐραγῶν, ὑπερμάχων.

## Περὶ τρώκτου.

Τρώκτης δὲ χαλκοῦ βασιλεὺς παλινστόμου,

σοφαῖς ἑαυτὸν μηχαναῖς ὑπεξάγει.
καὶ γὰρ ἀνωσθεὶ τὴν βολὴν πρὸς τὸν βρόχον.
κἂν μὲν τὸ λυποῦν εὐχερῶς ἀποπτύσῃ,
ἰδοὺ νικητής, καὶ δρομεύς, καὶ γεννάδας.
ἀλλ' ἔσω, διασπαράττει σ' ὀδοῦσι τὴν τρίχα.
καὶ γὰρ ἔχει τὴν κλῆσιν ἐκ τῶν τραυμάτων.
ἀλλ' οὐκ ἐφικτὸν ἐκτεμεῖν τὸ συνδέον,
τοῖς ἀνθελιγμοῖς τῆς πλοκῆς ἐσφιγμένον,
χωρεῖ πρὸς ὁρμὰς ἀκρατῶς πινακτρίας.
φασὶ γὰρ αὐτὸν ἀλπικὴν ἔχειν φύσιν,
ἕως ὁ χαλκὸς εἰς κενὸν διεκπέσῃ.
τὸ μὴ τὸν ἰχθὺν εὐτελεῖ παραξέσαις.
τρώκταις δὲ συχνοῖς εὐφυῶς ἠθροισμένοις,
τράπεζα δελφὶς ἐκραγεὶς τῶν συννόμων.
εὐθὺς γὰρ αὐτῷ συμπεσόντες ὡς κύνες,
ἀνῆψαν ἀπρὶξ εἰς τὸ σῶμα τὰς γένυς.
ὁ δὲ σπαραχθεὶς ταῖς τομαῖς ἀνερράγη.
καὶ δίφρος οἰκτρὸς ἐξ ἀνάγκης εὑρέθη.
λῃστὰς κρεμαστοὺς τῆς τροφῆς συνεξάρας.
τοῦ δὲ χρόνου λύσαντος ὀψὲ τὴν μάχην,
οἱ μὲν πάλιν ᾤχοντο ῥαστώνης χάριν.
ὁ θὴρ δὲ φυγὼν τοὺς διώκτας ἀσμένως,
οὓς αὐτὸς εἰσίασεν ἐκ τῶν σαρκίων,
πρὸς τὴν ἑαυτοῦ συμφορὰν ἀπηλλάγη.

## Περὶ σκάρων.

Τις ἀγεληδὸν συμπεσόντας τοὺς σκάρους,
εἰς πλεκτὸν ἀμφίβληστρον ἐξ οἴστρου βλέπων,
ὅταν ἴδωσι θῆλυν ἁλόντα σκάρον.
ἐξὸν παρελθεῖν ὁρμιᾶς μιᾶς δοῦλον,
οὐχ εὗρε τοῦ ζῆν ἐγκρατῶς διδασκάλους.
ἡδὺς ἔρως ὢν ἐκ πυρὸς τὴν καρδίαν.
εἰς τὰς ἐν ἀκμῇ φλεγμονὰς τοῦ σαρκίου.
τὸ συνώνυμον πλὴν ἂν ἁλοὺς ἴσως μάθοι.
παρακραζοῦσιν εἰς ἐρῶντες ἀθρόοι.
καὶ πολλάκις ἀφῆκαν αὐτοὶ τὸν φίλον.
ὀδοῦσι πυκνοῖς ἐκτραγόντες τὸν βρόχον.
καθάπερ αὐτοὺς ἱστορεῖ τοὺς ἀνθίας,
ἀνήρ τις ἰδὼν τὰς νομὰς τῶν ἰχθύων.

## Περὶ Κεφάλου.

Ποῖος δὲ τὸν κέφαλον ἰχθὺν αὐτάναξ
ἔκσπονδον εὑρὼν εἰς τὸ συνώνυμον γένος,
ἐξ οὗπερ οὐδὲν οὐδὲ φαῦλον ἂν φάγῃ.
εἰ μὴ σεσηπός. καὶ προκείμενον τύχοι.
γαστρὸς πονηρᾶς οὐ κρατεῖν ἐκμανθάνει.
σιτούμενος γὰρ τὴν διάβροχον πόαν,
ἀρκοῦν ἔχει τὸ δεῖπνον ἐκ τῶν εἰκότων.
ῥοφεῖ δὲ χανδὸν ἐκ φυγῆς τὸ σκυμνίον.

Περὶ γλαύκου.

Ὁ γλαῦκος ἰχθῦς ὡς πατὴρ παιδοτρόφος,
ὅταν περὶ τὴν νῆξιν ὀρρωδοῦν ἴδοι,
καὶ τοῦ δέους λήξαντος, ἀνεμεῖ πάλιν.
τὸ δὲ, προελθὸν τῆς πυρᾶς τῶν ὀμμάτων,
ἐκ παραπωγῆς εὐπραγεῖ ζῶν ἀσπόρου.

Περὶ κυνός.

Κύων δὲ τὸν σκύλακα παρόντος δέους,
ἐξ αἰσχύνης ἀνεῖλον εἰς τὴν γαστέρα.
καὶ πάλιν αὐτὸς ἀνατεχθεὶς μητρόθεν,
ἀνήξατο ζῶν εἰς τὸ συνώνυμον γένος.
Τρέφει δὲ κύνας. γαλεόν. καὶ κεντρίτην.
ἅμα δὲ καὶ σπήλαιον ἡ θάλαττά σοι.
οἷς τὴν κεφαλήν. καὶ τὸ τῆς κέρκου μέσον,
ἑκατέραις ὥπλισεν αἰχμαῖς ἡ φύσις.
ἀλλ᾽ εἷς μὲν αὐτῶν ἐμπεσὼν τῷ δικτύῳ.
πρὸς τὴν τελευτὴν ἐκβιάζεται τρέχειν.
οἱ δὲ τροφὴν δοκοῦντες εὑρεῖν τὸν φίλον,
χωροῦσι κοινῇ πρὸς τὸν ἄγνωστον δόλον.
ὃν ὁ στοχαστὴς δικτύοις ἐξελκύσας,
ὄλεθρον κυνικὸν, συγκομίζει τῷ σκάφει.

Περὶ μελανούρων.

Φασὶ τὸ δειλὸν τῶν μελανούρων γένος,
ὅταν μὲν ἡ θάλαττα σωφρόνως ἔχῃ,

τοὺς θηρατικοὺς εὐφυῶς φεύγον δόλους,
ὡς ψυχοκερδὴ τὸν βυθὸν διατρέχειν.
ὅταν δὲ χειμὼν εἰς τὸ ῥεῖθρον ἐμπέσῃ,
καὶ πᾶς ἁλιεὺς δυσφορῇ πρὸς τὴν ζάλην,
ὡς ἀπὸ φελλοῦ τὰς ῥοὰς ἀνατρέχειν.
καὶ πάντα δειπνεῖν τῆς νομῆς πεφευγμένης.

## Περὶ σπόγγου.

Κύματι κράτιστε θαλάττης ζῷον.
ὃ σπογγιὰν καλοῦσι παῖδες ναυτίλων.
οὐκ ἄψυχον δ᾽ ὅλην. οὐδ᾽ ἄμοιρον αἵματος.
μανὸν δὲ καὶ ζῶν καὶ πολύτρητον τέρας,
ἐπηλυγασθὲν εἰς καλινδήραν λίθου,
πρὸς τὰς ἀπωγὰς καρτερεῖ τῶν ῥευμάτων.
εἴπου δὲ προσπέσῃ τι τῶν ἐδωδίμων,
ζῷον τι λεπτὸν ἄλλο παρὸν ὡς φύλαξ,
ταύτην προωθεῖ τὴν δυσαίσθητον φύσιν.
ἢ τὸ προσιὸν ἡ συχνὴ προσλαμβάνει.
καὶ καθάπερ στόμασι πυκνοῖς τοῖς πόροις,
δειπνεῖ βασιλεὺς τὴν βορὰν παραυτίκα.
ὅταν δέ τις ἄνθρωπος ἐκτέμνειν θέλοι,
τὸ ζῶν τὸ νεκρὸν τοῦ ποσειδῶνος τέκος.
οἱ δὲ προθυρῶν συμφορὰς ἀποκρύφους.
τὸ μὲν γὰρ εὐθὺς τῇ βολῇ συνεστράφη.
καὶ τοὺς πόρους ἔσφιγξε καὶ κατεσάλη.

τῇ τῆς τέλσου τῆς τε ἰριγὸς περιστάσει.
ἀλγεῖ δὲ πικρῶς ὁ σφακεὺς τὴν καρδίαν
ἕως τὸ λυποῦν τῆς λαβῆς ἀποσπάσῃ.

Περὶ δράκοντος.

Ἰχθῦς μὲν ὑγρὸς τῆς θαλάσσης ὁ δράκων,
τὴν δ' οὖν κεφαλὴν τὰς φολίδας, τὰς γένυς.
καὶ τὰς γλαυκεῖς ἀστραπὰς τῶν ὀμμάτων.
ἐκεῖνος αὐτὸς ἐστὶ τῆς γῆς ὁ δράκων.
οὗ καὶ τὸ κέντρον ἡ φύσις φαρμάξασα,
πρόσιτον οὐκ ἔδειξεν ἰχθυοκτόνοις.

Περὶ φυσάλου.

Εἰς τὴν ἐρυθρὰν ἐστὶν ἰχθῦς οὐ μέγας.
ἐγχωρίοις φύσαλος ὠνομασμένος,
ἀνείδεος μὲν τῆς κεφαλῆς τὴν πλάσιν.
ἔχων δὲ τινὰ κόλπον εἰς τὴν γαστέρα
σμάραγδον ἂν εἴποι τὶς αὐτοῦ τὴν χρόαν.
ὡς ἀπὸ πυγμῆς ἀδρανοῦς τεθλασμένου.
ἐντεῦθεν αἴρει. καὶ πλατύνει τὸ στόμα.
φαγὼν μὲν οὖν τὶς τοῦτον, εὐθὺς ἐρράγη.
χειρὶ δὲ λαβὼν, καὶ παραψαύσας μόνον,
τὸν ὄγκον ὑγρᾶς φλεγμονῆς ἐξεργάσει.
καθάπερ οἱ δεῖ καὶ τὸ σαρκῶδες τέρας.
ξιφοῦ κατὰ γῆς οὐκ ἐχούσης ἰκμάδα.
πλὴν ἀπολυθεὶς εἰς τὸ ῥεῖθρον αὐτίκα.

αὖθις

αὖθις ἀνάξῃ· καὶ προέρχεται πλέον.
ὡς πομφόλυξ· ἢ κύστις· ἢ σφαῖρα ξένη.
Ἔστι παρ' Ἰνδοῖς καὶ βραχὺς ἰχθὺς μέλας,
ὃς κρύπτεται ζῶν, εἰς τὸ τῶν ῥείθρων βάθος,
ἕως τελευτῆς· τηνικαῦτα γὰρ μόνον,
ὁ νεκρὸς ἀνέπλευσεν ὡς κούφη πίτυς.
ὁ γοῦν τὸν ἰχθὺν τῆς ῥοῆς ἐξαρπάσας.
παραυτίκα τέθνηκε· τί δὴ φαρμάκων.

Περὶ κροκοδείλου.

Ὁ κροκόδειλος νήχεται μὲν εὐτόνως.
ἀνεὶς δὲ χανδὸν εἰς τὸ κῦμα τὸ στόμα,
βδελλῶν φορητὸν ἐξ ἐκείνου συλλέγει.
εἶτα διαβὰς εἰς τὸν ὄχθον ἐκπόρου,
πίπτει κατὰ γῆς καὶ βλέπει τὸν ἥλιον.
καὶ παραγυμνοῖ πρὸς τὸ φῶς· καὶ τὴν ξέσιν,
τοὺς τῶν γνάθων κράτιστα κολπώδεις τόπους.
ὄρνις δέ τις τροχίλος ὠνομασμένος,
τὸ ῥάμφος αὐτῆς εὐφυῶς ἐπεισφέρων,
τὰς αἱμοχαρεῖς καὶ θλιβούσας ἐξάγει.
τούτου πράως ἔχοντος εἰς τὸ συμφέρον,
καὶ τὴν κεφαλὴν ἀντὶ μισθοῦ λαμβάνει.
μηδὲν κακὸν παθοῦσαν ἐκ τοῦ θηρίου.

Περὶ ἰχνεύμονος.

Ἰχνεύμονος δὲ προσβαλεῖν ἠπειγμένου,

βοᾷ τί λαμπρὸν ὁ τροχίλος ἐνθάδε.
καὶ διανιστᾷ τὸν βραδὺν πρὸς τὴν μάχην.
παίων κατ' αὐτῆς τῆς ῥινὸς. καὶ θαῤῥύνων.
καὶ μὴ δὲ μικρὸν ἠρεμεῖν ἐπιτρέπον.
ὁ δὲ πρὸς ὀργὴν ὡς τὸ πῦρ ἐπιζέων,
αἱρεῖ τὸν ἐχθρὸν δυσχερῶς. καὶ συμπνίγει.
ὅπλον γε μὴν ἕτοιμον, ἰχνεύμων φέρων,
χωρεῖ κατ' αὐτῆς δεινῶς τῆς ἀσπίδος.
πηλῷ γὰρ ὑγρῷ τὴν δορὰν καταχρίσας,
τὸ δῆγμα θαῤῥεῖ καὶ κρατεῖ προσπεσούσας.
ὕδωρ δὲ τῷ στόματι πολλάκις φέρων,
ὁ κροκόδειλος οὗτος ὃν νεῖλος τρέφει,
ἐγχεῖ μεταξὺ λανθανόντως τῶν τρίβων.
αἷς ἂν ὀλισθάνωσι τὰ κτήνη, τρέχει.
καὶ ταῦτα δαπανεῖ συμπατῶν τῷ βορβόρῳ.
καὶ τοὺς ὕδωρ ἥκοντας ἀρύσαι θέρους,
τέχνῃ φυσικῆς ἐλλοχᾷ πανουργίας.
καλύπτεται γὰρ εἰς φρυγανώδη σκέπην.
καὶ λανθάνων πρόεισι καὶ διαβλέπει.
καὶ κατὰ μικρὸν γειτνιῶν συλλαμβάνει.
πειρώμενος δ' ὅμως ὁ ἀπορδὺς τῶν φιλτάτων,
τοὺς ἅρπαγας μὲν, καὶ θρασεῖς καὶ δυσμάχους,
εὐθὺς ἀπ' ἀρχῆς δυσγενεῖς δήπου κρίνει.
τοὺς δὲ πρὸς ὁρμὰς δραστικὰς νωθεστέρους,

ὡς μὴ φυσικοὺς ἀλλ' ὑπόπτους, ἐκτρίβει.
οὗτος γέ τοι κράτιστε τῶν ζώων μόνος,
τὴν μὲν κάτω πήγνυσι. τὴν δ' ἄνω γένυν,
κινεῖ θαμινὰ τὴν τροφὴν θλῶν ταῖς μύλαις.

Περὶ κοσσύφων.

Τοὺς κοσσύφους δέ φασι τοὺς θαλαττίους,
ποθεῖν τὸν αἰσχρὸν καὶ φιλήδονον βίον,
καθάπερ ἁβρούς. καὶ σφριγῶντας βαρβάρους.
καὶ ζηλοτυπεῖν καὶ σκοπεῖν τὰς συννόμους.
ὅταν ἐπιστῇ ὁ χρόνος τῶν ὠδίνων.
εἰς φῶς προελθεῖν ἐκβιάζῃ τοὺς τόκους.
τὰς γὰρ καθ' ὑγρῶν οὐκ ἐῶσι παστάδας.
ἃς οἷον ἀκτῆς ἐγκοπεὺς διαγλύφειν.
τοῖς ἐκτιναγμοῖς ἐνδιδούσης τοῦ λίθου.
πλὴν καὶ παραθηρῶσιν ἐκ τῶν μετρίων.
τροφὰς νεαλεῖς ταῖς λεχοῖς ἀφ' ἑστίας.
μήτις ὑπελθὼν τὰς κενὰς διεξόδους.
ἢ συσκιασθῇ καὶ πτοήσῃ τὰ βρέφη.
ἢ παρασυρῇ καὶ τὰ λέκτρα συγχέῃ.

Περὶ βοός.

Ἔχει δὲ καὶ θάλασσα βοῦν δήπου μέγαν.
ὃς τίκτεται μὲν εἰς ὕλην πεφυρμένην.
ἰχθῦς δὲ θηρᾶν εἰς τροφὴν οὐκ ἰσχύων,
τὸν γοῦν φανέντα τὴν ἐλλοχᾷ τῶν ἰχθύων,

ἐνάλλεται γὰρ ταῖς ῥοαῖς ἀναβράσας,
καὶ τὴν ἀδιάπνευστον ἐκτείνει στέγην.
κυρτῶν ἑαυτόν. καὶ κατείργων τὸν ξένον.
ὃς ἄχθεται μὲν τῆς πνοῆς πεφραγμένης.
ἐᾷ δὲ νεκρῶν ἐμφορεῖσθαι λειψάνων.
τὸν βοῦν τὸν ἐχθρόν. τὸν μελάγχρουν. τὸν φάγον.

Περὶ σαργοῦ.

Ο σαργὸς ἰχθύς ἐστιν ὡς οἶστρον ζέων.
διψῶν δὲ φωτός. καὶ σιτούμενος πόας.
οἰκεῖ πρὸς ἀκτὰς παγγενῆς ἀθροισμένος.
ὅπου διασφὰξ ὑγρολάξευτος λίθου.
τῶν ἡλιακῶν ἐμφορεῖται λαμπάδων.
Φιλεῖ δὲ καὶ τὰς αἶγας ἀρρήτῳ σχέσει.
καὶ γὰρ παραθεῖ γειτνιῶν ταῖς ἐννόμοις.

Περὶ πολύποδος.

Βορώτατον δὲ καὶ πανοῦργον τὴν φύσιν.
καὶ θερμὸν ὡς κίνησιν ἀφροδισίων,
ἀεὶ καθ᾽ ὑγρῶν τὸν πολύποδα βλέπων,
αὐτοκράτορ τέθηπα τῆς ἀπληστίας.
ὅταν γὰρ ἡ θάλαττα δεινόν τι βρύχη,
καὶ πνεῦμα πυκνὸν τὸν βυθὸν διατρέχον,
τὸ ῥεῖθρον ὑψοῖ. καὶ στροβεῖ. καὶ συγχέη,
θήρας ἄπων ἄγευστον αὐταῦθα χρόνον,
αὐτὸς ἑαυτοῦ τοὺς πλοκάμους ἐσθίει.

Τροφῆς δὲ τυχὼν ὁ φθορεὺς ἀμοιρίας,
ὅταν ἔχῃ τὸ ῥεῖθρον ὑπτίαν χύσιν.
τὸ δαπανηθὲν εἰς ἀνάπλασιν φύει.
καὶ τὸν μὲν ἐχθρὸν, δυσχερῶς ἂν ἐκφύγοι.
πρὸς ὄψιν αὐτῷ γειτνιῶν τὸ λανθάνον.
δραξάμενος γὰρ τῆς προκειμένης ὕλης,
ἤμειψεν, ὥσπερ εἶχε μορφὴν ἡ φύσις.
ὡς καὶ δοκεῖν ἐκεῖνο τυχὸν τὸ ξύλον.
ἢ τὸν παρόντα λίθον ὀφθῆναι μόνον,
προκείμενον δ᾽ ὅσον τῷ παρεῖσθαι τὸν τόνον,
ἐκ τῆς περὶ τὸν οἶστρον ἀποπληξίας.
ἰοῦ θανατοῖ. κἂν βραχὺς τρίβῃ χρόνος.
προθεὶς ἑαυτὸν, ἐστιᾷ τὸν καρκίνον.
οὓς ἤσθιε πρὶν ἐμμοχθῶν, καὶ συμμέτρων.
τίκτει δὲ ῥᾷστα, καὶ βραχεῖ πλείστῳ χρόνῳ.
καὶ νήχεται ζῶν δυσαρίθμητον βίον.
ὅταν δὲ χειμὼν. καὶ δριμύτης ἢ ψύχους,
καὶ μειδιῶσαν οὗτος αἰθρίαν ἴδοι,
τὸ ῥεῖθρον ἀφεὶς, καὶ τὸ συνώνυμον γένος,
ἔξεισιν εἰς τὴν χέρσον ἕρπων ὡς ὄφις.
καὶ πέτραν εὑρὼν, καὶ ταθεὶς ἐπὶ στόμα,
ταῖς ἡλιακαῖς ἐγχρονίζει λαμπάσι.
δένδρου τε παντὸς ἂν ἐπιβαίνειν θέλῃ,
καὶ τοῦτο πίπτω ῥᾷστον εἰς ἕρμα τρύγης.

## Περὶ περσέως.

Ἰχθὺς ὁ περσεὺς ἐμφερὴς ταῖς ἀνθίαις,
μᾶλλον δὲ τοῖς λάβραξι τοῖς βορωτάτοις,
ὃς ἐκ κεφαλῆς εἰς ἐρυθρὰν γαστέρα,
ζώναις χρυσαῖς ἄντικρυς ἠγλαϊσμένος,
υἱὸς μυθικῶς ἀφροδίτης ἐκρίθη.
πλωτῶν δὲ θηρῶν δυσμενῶν κατισχύει.
ὀδοῦσι μακροῖς καὶ τομαῖς πεφραγμένος.

## Περὶ πίνης.

Τῶν ὀστρέων οὖν ἐστιν ἡ πίνη γένος.
ἣ τὰς φορητὰς παρανοιγνῦσα πτύχας,
κεῖται καθ' ὑγρῶν καὶ προβάλλει σαρκίον.
ἐκ τῶν ἑαυτῆς μαλθακῶν αὐτοδίων.
ὅταν δὲ μαινὶς ἀπατηθεῖσα δράμοι.
καρκῖνος αὐτῇ συμβιῶν προσεγγίσας.
νύττει μετ' αὐδοῦς ταῖς λαβαῖς τὸ σαρκίον.
ἡ δὲ πλέον κέχηνεν. ἡ δὲ προσνέει.
καὶ τοῖς λαθοῦσι διπτύχοις ἁλίσκεται.
ὑγρὸν δὲ ῥυὲν τῷ στομάχῳ τῆς πίνης.
εἰς ἀστραπῆς ἔλαμψιν εὑρέθη λίθος.
κινούμενος δὲ τῇ καθειρχθείσῃ ζέσει,
εἰς μαρμαρυγὴν ὀργανοῦται μαργάρου.
πίνη δὲ ποιεῖ καὶ τριχῶν βλάστην ξένην,
ὡς ἐξ ἀραχνῶν συμφυῶν τῶν ἐγκάτων,

ἧς ἡ φεραυγὴς καὶ χλιδῶσα λεπτότης,
ξανθοῖσι πλοχμοῖς ἐνδεθεῖσα παρθένων,
παρτῶν τὰς αὐταῖς μαστροπεύειν νυμφίους.
Ἐξοστρακωθὲν εἰς παρακμὴν τὸ στέγος,
ἐξοστρακίζειν οἶδε καρκίνου φύσις.
οἰστρούμενος γὰρ κνησμοναῖς ἀποκρύφοις,
ἐκεῖνος ἐργᾶ πανταχῆ τροφῆς χάριν.
ὀγκούμενος δὲ πλησμονῇ τὴν γαστέρα,
σοφῶς ὑποσπᾷ τῆς καλύπτρας τὰς δέσεις.
τοῦ θρύμματος γοῦν ἐκπεσόντος αὐτίκα,
νοσῶν ὁ γυμνὸς εὐπαθὴς γὰρ εὑρέθη.
μένει τροφῆς ἄγευστος εἰς πλεῖον χρόνον.
πηγνύμενος δὲ τῇ δορᾷ τῇ προσφάτῳ.
τροφὴν ἔχει τὴν ψάμμον ἣν εὗρε κλίνην.
ὅταν δὲ καλῶς ὀστρακωθῇ τὸ στέγος,
εἰς πάντα χωρεῖ τὴν τροφὴν παρεκλέπων.

## Περὶ μυός.

Θαλάττιος μῦς πρὸς φυὰς φέρων δόρυ,
καί τινας ἐκ στόματος ἀκμὰς ὡς βέλη.
χωρεῖ πρὸς ἰχθῦς αὐσονάρχα δυσμάχους.
καὶ τοὺς σαγηνεύοντας αὐτὸν οὐ τρέμει.
γοργῶς διασπῶν τὰς πλοκὰς τῶν δικτύων.
καὶ μέμφεται μῦς τοὺς ἀνύδρους ἐν σκότει.
οἳ ζῶσι πικρῶς κἂν συλῶσι τὰς ψίχας.

οὗς καὶ γαλῆ τρίζουσα. καὶ πλάξ. καὶ βρόχος.
καὶ παγὶς ὀξὲ τρίψε καὶ βραχὺ στέαρ.

### Περὶ Κεστρέως.

Κεστρεὺς δὲ λαμπρᾶς μειδιώτης αἰθρίας.
ἔξεισιν εἰς τὴν χέρσον, ἀφεὶς τὴν χύσιν.
ἐπὶ δὲ τοῦ χώματος ὑπνῶν εἰς βάθος,
ἂν ἐκταραχθῇ, πρὸς τὸ ῥεῖθρον αὖ τρέχει.
καὶ ζῇ καθαρὸς γηγενοῦς ὑποψίας,
φυγὰς ἐπ᾽ αὐτὴν εἰς ῥυεὶς τὴν πατρίδα.

### Περὶ ἀφυῶν.

Μήτηρ ὁ πηλὸς, καὶ πατὴρ ταῖς ἀφύαις,
αἳ νουνεχῶς οἰκοῦσι τοὺς κοίλους λίθους.
δεδοίκασι γὰρ τὰς φορὰς τῶν πνευμάτων,
τούτων ἑκάστη καὶ τροφῆς πλὴν ἐτράφη,
τῆς συγγενοῦς τὸ σῶμα λιχμησαμένη.

### Περὶ τρίγλης.

Τρίγλη δὲ νηκτόν ἐστι καὶ λίχνον φύσει.
καὶ γὰρ φιληδεῖ τοῖς κακόσμοις ἐκτόπως
καὶ τοῖς ῥυπαροῖς. οὐ τρυφᾷ θνησιδίοις.
ἅπαξ δὲ καὶ δὶς, ἀλλὰ καὶ τρὶς ἂν κύοι.

### Περὶ ναυκράτον.

Ἔστι τὶς ἰχθὺς εὐτελὴς μὲν εἰ βλέποις.
εἰ δὲ κρίνοις, κράτιστος. εἰ δὲ λαμβάνοις,
νεκρὸς γαληνὸς, εἰς γονὰς ἀποστρόφους.

τὸν μὲν γὰρ εὐάγωγον ἐξ αὔρας δρόμον,
εἴργει προελθεῖν οὐδακῶν τὴν ὁλκάδα.
καὶ τοὺς τέως ᾄδοντας ἐκ θυμηδίας.
στυγνόν τι πενθεῖν ἐκβιάζει ναυτίλους.
κἂν μήτις αὐτὸν καταδὺς θᾶττον τέμῃ,
ὁδοστατηθὲν οὐ δραμεῖται τὸ σκάφος.
ἔνθεν τὸν ἰχθὺν αὐτὸν ἀρχαναυκράτην.
οἱ ναυτικοὶ καλοῦσιν ἐκ τοῦ πράγματος.

ΤΈΛΟΣ.

[illegible]

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

5o — 7½:—